Adoración de los pastores

132. Καὶ ἐγένετο ὡς ἀπ-ῆλθον ἀπ' αὐτῶν εἰς τὸν οὐρανὸν οἱ ἄγγελοι, οἱ ποιμένες ἐλάλουν πρὸς ἀλλήλους. «διέλθωμεν δὴ ἕως Βηθλέεμ καὶ ἴδωμεν τὸ ῥῆμα τοῦτο τὸ γεγονὸς [1] ὃ [2] ὁ Κύριος ἐγνώρισεν ἡμῖν». Καὶ ἦλθον σπεύσαντες, καὶ ἀν-εῦρον [3] τήν τε Μαριὰμ καὶ τὸν Ἰωσὴφ καὶ τὸ βρέφος κείμενον ἐν τῇ φάτνῃ. Ἰδόντες [4] δὲ ἐγνώρισαν [6] περὶ τοῦ ῥήματος τοῦ λαληθέντος αὐτοῖς περὶ τοῦ παιδίου τούτου.

133. Καὶ πάντες οἱ ἀκούσαντες ἐθαύμασαν περὶ τῶν λαληθέντων ὑπὸ τῶν ποιμένων πρὸς αὐτούς. Ἡ δὲ Μαρία πάντα συνετήρει τὰ ῥήματα ταῦτα συμ-βάλλουσα ἐν τῇ καρδίᾳ αὐτῆς. Καὶ ὑπέστρεψαν οἱ ποιμένες

---

130. [1] Φυλακὰς, acus. de φυλακή, ῆς, guardia (hacer guardia). No se le confunda con el acus. de φύλαξ, ακος, guarda.

[2] Καὶ ἐφοβήθησαν φόβον μέγαν, les entró gran temor.

131. [1] Ἐτέχθη, aor. pas. de τίκτω.

[2] Εὑρήσετε, fut. de εὑρίσκω.

[3] Ἐσπαργανώμενον, part. de perf. pas. de σπαργανόω.

[4] Κείμενον, part. de κεῖμαι.

[5] Καὶ ἐξ-αίφνης...; ordénese: καὶ ἐξ-αίφνης σὺν τῷ ἀγγέλῳ ἐγένετο πλῆθος στρατιᾶς οὐρανίου αἰνούντων τὸν Θεὸν καὶ λεγόντων...: Αἰνούντων y λεγόντων están en genitivo porque se suple ἀ γ γ έ λ ω ν (una multitud del ejército celestial de ángeles que alababan y decían).

132. [1] Τὸ γεγονός, lo sucedido, part. perf. de γίγνομαι, ser, suceder.

[2] Ὃ ὁ Κύριος ἐγνώρισεν ἡμῖν, lo que el Señor nos ha mostrado, enseñado. El primer ὃ es compl. directo de ἐγνώρισεν, acus. neutro del relativo ὅς, ἥ, ὅ. El segundo es artículo.

[3] Ἀν-εῦρον, aor. 2.° de ἀν-ευρίσκω.

[4] Ἰδόντες, de ὁράω, ver.

[5] Ἐγνώρισαν περὶ τοῦ ῥήματος τοῦ λ α λ η θ έ ν τ ο ς, lit.: dieron a conocer (manifestaron) acerca de la palabra dicha (por los ángeles) a ellos, acerca de este niño.

δοξάζοντες καὶ αἰνοῦντες τὸν Θεὸν ἐπὶ πᾶσιν οἷς [1] ἤκουσαν καὶ εἶδον, καθὼς [2] ἐλαλήθη πρὸς αὐτούς.

San Lucas, 2, 1-21.

Bodas de Caná

Falta el vino

134. Καὶ τῇ τριτῇ ἡμέρα γάμος ἐγένετο ἐν Κανᾶ τῆς Γαλιλαίας, καὶ ἦν ἡ μήτηρ τοῦ Ἰησοῦ ἐκεῖ. Ἐκλήθη [1] δὲ καὶ ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὸν γάμον. Καὶ ὑστερήσαντος οἴνου [2] λέγει ἡ μήτηρ τοῦ Ἰησοῦ πρὸς αὐτόν· «οἶνον οὐκ ἔχουσιν». Καὶ λέγει αὐτῇ ὁ Ἰησοῦς· «τί ἐμοὶ καὶ σοί, γύναι; οὔπω ἥκει ἡ ὥρα μου». Λέγει ἡ μήτηρ αὐτοῦ τοῖς διακόνοις [3] «ὅ τι ἂν λέγῃ ὑμῖν, ποιήσατε [4]».

Jesús hace el milagro

135. Ἦσαν δὲ ἐκεῖ λίθιναι ὑδρίαι ἓξ [1] κατὰ τὸν καθαρισμὸν [2] τῶν Ἰουδαίων κείμεναι, χωροῦσαι ἀνὰ [3] μετρητὰς δύο ἢ τρεῖς. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· «γεμίσατε τὰς ὑδρίας ὕδατος». Καὶ ἐγέμισαν αὐτὰς ἕως ἄνω. Καὶ λέγει αὐτοῖς· «ἀντλήσατε νῦν καὶ φέρετε τῷ ἀρχιτρικλίνῳ». Οἱ δὲ ἤνεγκαν [4].

Admiración del maestresala

136. Ὡς δὲ ἐγεύσατο ὁ ἀρχι-τρίκλινος τὸ ὕδωρ οἶνον γεγενημένον [1], καὶ οὐκ ᾔδει [2] πόθεν ἐστίν, (οἱ δὲ διάκονοι [3] ᾔδεισαν οἱ ἠντληκότες τὸ ὕδωρ), φωνεῖ τὸν νυμφίον ὁ ἀρχι-τρίκλινος καὶ λέγει αὐτῷ· «πᾶς ἄνθρωπος πρῶτον τὸν καλὸν οἶνον τίθησιν, καὶ ὅταν μεθυσθῶσιν τότε τὸν ἐλάσω [4]· σὺ τετήρηκας τὸν καλὸν οἶνον ἕως ἄρτι».

---

133. [1] Οἷς, está en dat. por atracción de πᾶσιν; debería ser ἃ ἤκουσαν.
[2] Καθὼς = κατὰ ὡς.

134. [1] Ἐκλήθη, aor. pas. de καλέω, llamar; aquí = invitar.
[2] Ὑστερήσαντος οἴνου, terminándose el vino; genit. absoluto.
[3] Διάκονος servidor, *diácono*, ministro eclesiástico inmediato al sacerdocio. En un principio su oficio era servir en las iglesias.
[4] Ποιήσατε, haced.

135. [1] Ἓξ, seis > *exosa*. Ἐξ, *de*, no tiene acento y lleva espíritu suave.
[2] Κατὰ τὸν καθαρισμόν, para la purificación.
[3] Χωροῦσαι ἀνὰ μετρητὰς δύο ἢ τρεῖς, conteniendo unas dos o tres metretas entre los hebreos equivalía a unos 40 litros.
[4] Ἤνεγκαν, aor. de φέρω, llevar.

136. [1] Γεγενημένον, perf. del part. de γίγνομαι.
[2] Ἤιδει, plusc. de οἶδα.
[3] Οἱ δὲ διάκονοι οἱ ἠντληκότες τὸ ὕδωρ ᾔδεισαν, pero los sirvientes que habían sacado el agua lo sabían.
[4] Τὸν ἐλάσσω, el peor; comp. de ὀλίγος, se suple τίθησιν. — μεθυσθῶσιν de μεθύσκω.

Ταύτην ἐποίησεν ἀρθὴν τῶν σημείων ὁ Ἰησοῦς ἐν Κανᾷ τῆς Γαλιλαίας καὶ ἐφανέρωσεν τὴν δόξαν αὐτοῦ, καὶ ἐπίστευσαν εἰς αὐτὸν οἱ μαθηταὶ αὐτοῦ.

SAN JUAN, 2, 1-12.

LAS BIENAVENTURANZAS

Muchos enfermos siguen a Jesús

137. Καὶ περι-ἦγεν ὁ Ἰησοῦς ἐν ὅλῃ τῇ Γαλιλαίᾳ, διδάσκων ἐν ταῖς συν-αγωγαῖς αὐτῶν καὶ κηρύσσων τὸ εὐ-αγγέλιον τῆς βασιλείας καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ.

Καὶ ἀπ-ἦλθεν ἡ ἀκοὴ αὐτοῦ εἰς ὅλην τὴν Συρίαν· καὶ προσ-ήνεγκαν [1] αὐτῷ πάντας τοὺς κακῶς [2] ἔχοντας, ποικίλαις νόσοις καὶ βασάνοις συνεχομένους καὶ δαιμονιζομένους καὶ σεληνιαζομένους καὶ παραλυτικούς, καὶ ἐθεράπευσεν αὐτούς.

Jesús rodeado de una multitud

138. Καὶ ἠκολούθησαν αὐτῷ [1] ὄχλοι πολλοὶ ἀπὸ τῆς Γαλιλαίας καὶ Δεκαπόλεως καὶ Ἱεροσολύμων καὶ Ἰουδαίας καὶ πέραν τοῦ Ἰορδάνου [2]. Ἰδὼν δὲ τοὺς ὄχλους ἀν-έβη [3] εἰς τὸ ὄρος καὶ καθίσαντος αὐτοῦ προσ-ῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· καὶ ἀν-οίξας [4] τὸ στόμα αὐτοῦ ἐδίδασκεν αὐτοὺς λέγων.

Las Bienaventuranzas

139. «Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρο-νομήσουσιν τὴν γῆν.

Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρα-κληθήσονται [1].

Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται.

Μακάριοι οἱ ἐλεήμονες [2], ὅτι αὐτοὶ ἐλεηθήσονται.

Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται.

---

137. 1 Προσ-ήνεγκαν, de προσφέρω.

2 Τοὺς κακῶς ἔχθοντας, a los que estaban mal.

138. 1 Ἠκολούθησαν αὐτῷ, le acompañaban. Ἀκολουθέω rige dativo.

2 Πέραν τοῦ Ἰορδάνου, del otro lado del Jordán.

3 Ἀν-έβη, de ἀναβαίνω, subir.

4 Ἀν-οίξας, aor. de part. de ἀν-οίγω, abrir.

139. 1 Παρα-κληθήσονται, fut. pas. de παρα-καλέω.

140. Μακάριοι οἱ εἰρηνο-ποιοί, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται.[1] Μακάριοι δεδιωγμένοι[2] ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

Μακάριοί ἐστε ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσιν καὶ εἴπωσιν[3] πᾶν πονηρὸν καθ' ὑμῶν, ψευδόμενοι ἕνεκεν ἐμοῦ· χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς· οὕτως γὰρ ἐδίωξαν τοὺς προφήτας[4] τοὺς πρὸ ὑμῶν»[5].

SAN MATEO, 4, 23-5, 13.

---

140. [1] Κληθήεονται de καλέω.

[2] Δεδιωγμένοι, perf. del part. de διώκω, perseguir.

[3] Ὅταν ὀνειδίσωσιν καὶ διώξωσιν καὶ εἴπωσιν, cuando os injurien, y persigan, y digan...; son todos aoristos de subjuntivo.

[4] Προ-φήτης, el que dice antes (πρό, antes y φημί, decir), *profeta*.

[5] Τοὺς πρὸ ὑμῶν, los de delante a vosotros, los anteriores a vosotros.

Pallas Atenea (Minerva)

SEGUNDA PARTE

EJERCICIOS DE LA SINTAXIS GRIEGA

El fin de estos ejercicios es la práctica de las reglas de la Sintaxis Griega de una manera metódica y clara.

Las últimas frases de algunos ejercicios están sacadas de los números de traducción que se verán después. Son más difíciles y se tendrá que acudir al vocabulario final.

No hay necesidad de que se vean todas las frases de estos ejercicios, sino sólo las necesarias hasta comprender y practicar aquellas reglas que allí se aplican. Ni tampoco es necesario estudiar seguidos todos los Ejercicios y a continuación traducir los autores griegos.

Para evitar el hastío y el cansancio que produciría el estudiarlos todos seguidos, es conveniente simultanear dichos Ejercicios con la traducción de los autores. Es decir, ir espaciando los Ejercicios de Sintaxis de suerte que se llegue a estudiar toda la sintaxis griega en el transcurso de varios meses, mientras al mismo tiempo se va traduciendo a Jenofonte y a Luciano.

Las reglas de sintaxis para que se puedan digerir bien y comprender hay que irlas viendo en pequeñas dosis, mezclando el estudio de éstas con la traducción.

ELEMENTOS DE LA ORACIÓN

La concordancia. La comparación

ἀνδρεῖος, *valiente.*
φεύγω, *huir de* (ac.).
ἀπο-θνήσκω, *morir.*
εὖ, *bien.*
οἱ νῦν, *los de ahora.*
μικρός, *pequeño.*
μετρόπολις, εως, *capital.*
Ἀττική, ῆς, *Ática.*
δια-φθείρω, *destruir.*
ὁμόνοια, ας, *concordia.*
χρήσιμος, *útil.*
ἀδελφός, οῦ, *hermano.*
ἥλιος, ου, *sol.*
σελήνη, ης, *luna.*

Sacrificio

141. 1. οἱ στρατιῶται οὐκ εἰσὶν ἀνδρεῖοι.
2. οἱ τὴν πόλιν φυγόντες ἀπέθανον.
3. οἱ εὖ λέγοντες τιμῶσι τὴν πόλιν.
4. οἱ νῦν εἰσιν ἀνδρειότατοι.
5. τὸ ἀγαθὸν οὐ τιμᾶται.
6. ὁ Ἀλέξανδρος ἀνδρειότερός ἐστι τοῦ Φιλίππου.
7. Οἱ ἱερεῖς ταῦρον μέγαν θύσουσιν.

142. 1. οἱ ἄνδρες καὶ αἱ γυναικές εἰσι μικροί.
2. ἐμοὶ καὶ τῷ ἐμῷ ἀδελφῷ εἰσι δύο καλαὶ οἰκίαι.
3. αἱ Ἀθῆναι, ἥ ἐστι μητρόπολις τῆς Ἀττικῆς, διεφθάρη.
4. ἡ εἰρήνη καὶ ἡ ὁμόνοιά εἰσι χρήσιμαι τοῖς νενικημένοις καὶ τοῖς νενικηκόσιν.
5. οἱ παίδες οἱ τῶν Ἀθηναίων εἰσὶ καλοί.
6. ὁ ἥλιος μείζων ἐστὶ τῆς γῆς.

Elementos principales

El nominativo. El acusativo

αἱρέω, *tomar.*
οὐδέποτε, *jamás.*
λανθάνω, *estar oculto.*
ὀλίγον. *poco, pocas cosas.*
κινδυνεύω, *estar en peligro.*
ἀποδείκνυμι, *nombrar.*
φεύγω, *huir de* (ac.).
δῆμος, ου, *pueblo.*
αἰτέω, *pedir.*
εὐνοία, ας, *benevolencia.*
κρίνω, *juzgar.*
ἕτοιμος, *dispuesto.*
τριάκοντα, *treinta.*
ἑλληνικός, *griego.*
στολή ῆς (ἡ), *vestido.*
ἐνδύω, *vestir.*

143. 1. ἡ καλὴ πόλις ἠρήθη ὑπὸ τοῦ βασιλέως.
2. τὰ ἔργα ἡμῶν οὐδέποτε λανθάνει τὸν Θεόν.
3. Τὸν στρατηγὸν ἔκρινον οἱ στρατιῶται σωφρονέστατον.
4. ἐκινδύνευσε πάντας κινδύνους καὶ ἔφυγε τὴν πόλιν.
5. ἀπέδειξαν τὸν Κῦρον στρατηγόν.
6. ὁ Νικίας ἀποδειχθήσεται στρατηγὸς ὑπὸ τῶν στρατιωτῶν.
7. ὁ πατήρ τὸν παῖδα παιδεύει τήν σοφίαν. Ὁ παῖς ὑπὸ τοῦ πατρὸς παιδεύεται τήν σοφίαν.

144. 1. ὁ βασιλεὺς τοῦ δήμου (παρὰ τοῦ δήμου) ἤτησε τήν εὔνοιαν.
2. ὁ στρατηγὸς ἐκρίνετο σωφρονέστατος ὑπὸ τῶν στρατιωτῶν.
3. οἱ στρατιῶται ἕτοιμοι ἦσαν εἰς τὴν μάχην.
4 Ἀποδείκνυσι τὸν Κῦρον στρατηγόν. Ὁ Κῦρος ἀποδείκνυται στρατηγός.
5. ὁ στρατεγὸς τὸν Κῦρον ἤτησε τριάκοττα στρατιώτας.
6. ἡ μητὴρ τὴν στολὴν ἐνέδυσε τὸν υἱόν.
7. Συέννεσις μὲν ἔδωκε Κύρῳ χρήματα πολλὰ εἰς τὴν στρατιάν, Κῦρος δὲ ἐκείνῳ δῶρα, ἃ νομίζεται παρὰ βασιλεῖ τίμια.

El dativo

γλῶττα, ης, *lengua.*
ἑλληνικός, *griego.*
χρήσιμος, *útil.*
βίβλος, ου (ἡ), *libro.*
χρήματα, ων (τά), *riqueza.*
πλούσιος, *rico.*
βοηθέω, *auxiliar.*
ἕπομαι, *seguir.*
πένης, ητος, *pobre.*
νόμους τιθέναι, *dar leyes.*
εὔνοος ου, *benévolo, favorable.*
δῆμος, ου, *pueblo.*
εὐδοξία, ας, *fama.*
πέμπω, *enviar.*
ὅπλον, ου (τό), *arma.*
ὁμοίος, *semejante.*
χιτών, ῶνος, *vestido.*

145. 1. ἡ ἑλληνικὴ γλῶττα χρησιμοτάτη ἐστὶ πᾶσιν.
2. δίδωμι βίβλον τῷ ἐμῷ ἀδελφῷ.
3. ἐμῷ ἀδελφῷ αἱ βίβλοί εἰσιν.
4. οἱ πλούσιοι βοηθήσουσι τοῖς πένησιν, καὶ οὗτοι φιλήσουσι τοὺς πλουσίους.
5. οἱ ἱππεῖς εἵποντο τοῖς στρατιώταις.
6. οἱ πολῖται τοῖς νόμοις πειθόμενοι, ἀμύνουσι τῇ πατρίδι.

146. 1. ὁ βασιλεὺς ἔθηκε νόμους εὔνους τῷ δήμῳ.
2. ἀμυνῶ ἐμῇ δόξῃ, ἣν ἄλλοι ζηλοῦσι.
3. ἐφίλουν τοὺς πένητας καὶ οὐκ ἐφθόνουν τοῖς πλουσίοις.
4. ἔστι τοῖς στρατιώταις χρήσιμα τὰ ὅπλα.
5. τὶς παῖς ἔδωκε τῷ πένητι τοὺς χιτῶνας.
6. ἡμῖν οὐκ ἔξεστι λοιδορεῖσθαι τοῖς πολεμίοις.

Elementos modificativos

El genitivo

ἔτος, ους (τό), *año.*
τὶς ὑμῶν, *uno de vosotros.*
κατακρίνω, *condenar.*
ἡγεμών, όνος, *jefe, guía.*
ἐπι-λανθάνομαι, -λήσομαι, -ελαθόμην, -λέλησμαι, *olvidarse.*
ἀπολύω, *absolver.*
προδοσία, ας, *traición.*

Peplo (manto)

147. 1. αὕτη ἐστὶν ἡ οἰκία τοῦ ἐμοῦ ἀδελφοῦ.
2. ὁ ἐμὸς ἀδελφὸς προὐτίθη τὴν σοφίαν τῶν χρημάτων.
3. ὁ Νικίου παῖς ἔκτεινε νεανίαν τινα δέκα ἐτῶν.
4. τὶς ὑμῶν ἐπέλαθε τῶν τοῦ βασιλέως λόγων;
5. ὁ Κῦρος ἦν ἀνδρειότατος στρατηγὸς τῶν περσῶν.
6. οἱ τοῦ Κύρου στρατιῶται περιεγένοντο τῶν πολεμίων. Ὁ τῆς γύναικος πέπλος καλός ἐστιν.

148. 1. Οἱ τοῦ στρατηγοῦ στρατιῶται μετέσχον τῆς μάχης.
2. πάντες οἱ στρατιῶται κατακρίνουσι τοῦ στρατηγοῦ θάνατον.
3. ὁ ἀνὴρ ἐκράτησε τῶν θηρῶν.
4. ἔστιν ὑμῖν ἡγεμὼν τῶν ἄλλων μιμνῃσκόμενος, αὐτοῦ δὲ ἐπιλανθανόμενος.
5. ἠτιάσαντο τὸν στρατηγὸν προδοσίας.
6. ὁ θάνατος βασιλεύει πάντων τῶν ἀνθρώπων.

Elementos circunstanciales

Lugar, tiempo y espacio

πλέω, πλεύσομαι, ἔπλευσα, *navegar.*
Ἀσία, ας, *Asia.*
Ἕλλην, ηνος, *griego.*
ἐξ-έρχομαι, *marchar.*
μένω, *permanecer.*
νύξ, κτός, *noche.*
θέρος, ους (τό), *verano.*
ἔρχομαι, *ir (se).*
ἡμέρα, ας, *día.*
πορεύομαι, πορεύσομαι, *andar.*
ἔτος, ους (τό), *año.*

149. 1. ὁ Φίλιππός ἐστιν ἐν οἰκίᾳ.
2. ἔπλευσα ἀπὸ τῆς Ἀσίας εἰς τὰς Ἀθήνας.
3. ἐπορεύετο νυκτὸς διὰ τοῦ ἀγροῦ.
4. ὁ Ἀλέξανδρος ἐμάχετο ἐν τῇ Ἀττικῇ τρεῖς ἡμέρας.
5. πολλοὶ Ἕλληνες ἐξέρχονται ἐκ τῆς Ἀττικῆς ὡς τὸν τῶν περσῶν βασιλέα.
6. ὁ στρατηγὸς ἦν ἀνδρειότερος τοῦ στρατιώτου ἐν τῇ μάχῃ.

150. 1. ἔμεινα οἴκοι πᾶσαν τὴν νύκτα.
2. τοῦ θέρους ἦλθον ἐπὶ τὸν ποταμόν.
3. τῇ ἑκτῇ ἡμέρᾳ ἐπορεύθησαν ἓξ ὥρας πρὸς μεγάλην πόλιν.
4. ἐκ τοῦ δευτέρου ἔτους αἱ Ἀθῆναι οὐκ ἐλεύθεραί εἰσιν.
5. ἑπτὰ ἡμέρας ἐπορευόμεθα διὰ τῆς πόλεως.
6. πορευόμεθα δύο ἡμέρας εἰς τὴν πόλιν.
7. Κῦρος ὥρμᾶτο ἀπὸ Σάρδεων, καὶ ἐξελαύνει διὰ τοῦ πεδίου σταθμοὺς τρεῖς, παρασάγγας εἴκοσι καὶ δύο ἐπὶ τὸν ποταμόν.

Otros elementos circunstanciales

ἀνθίσταμαι, *resistir.*
προσβάλλω, *atacar.*
βέλος, ους (τό), *dardo.*
πείθομαι, *obedecer.*
ἀφικνέομαι, ἀφίξομαι, ἀφικόμην, ἀφῖγμαι, *llegar.*
ὁράω, ὄψομαι, εἶδον, ἑώρακα, *ver.*
κραυγή ῆς *grito.*
ὀφθαλμός, οῦ, *ojo.*
λύομαι, *rescatar.*
αἰχμάλωτος, *cautivo.*
δουλεία, ας, *esclavitud.*
ξύλον, ου (τό), *madera.*

151. 1. οὐκ ἀνθιστάμεθα τοῖς πολεμίοις προσβαλλοῦσιν ἡμῖν βέλεσι.
2. πάντες ἐπείθοντο τοῖς στρατηγοῖς ἡδονῇ.
3. ὁ δοῦλος τὸν δεσπότην ἔκτεινε τῷ ξίφει.
4. ὁ στρατηγὸς ἀφίκετο ἄγων δισχιλίους στρατιώτας.
5. ὁρῶμεν τὰ βασίλεια τοῖς ὀφθαλμοῖς.
6. ἐκεῖνος ἦν ἀθηναῖος τὸ γένος.
7. ἐπείθοντο τῷ στρατηγῷ διὰ τὴν ἀνδρεῖαν.
8. πέμψω τὰς βίβλους, αἷς χράομαι.
9. ὁ ποταμὸς ἦν τριάκοντα ποδῶν τὸ εὖρος.

152. 1. οἱ στρατιῶται ἐξῆλθον ἐκ τῆς πόλεως.
2. ὁ βασιλεὺς ἐλύσατο τοὺς αἰχμαλώτους τῆς δουλείας.
3. λέγομεν περὶ τῆς νίκης τῶν ἀθηναίων πολλῇ κραυγῇ.
4. αἱ οἰκίαι τῶν περσῶν ἦσαν ξύλου.
5. ἡ νίκη λύσεται ἡμᾶς τῆς δουλείας.
6. ὁ ποταμὸς ἦν τριάκοντα ποδῶν τὸ εὖρος.
7. οἱ ἱππεῖς τῷ στρᾰτηγῷ ἕπονται.
8. ἐκεῖνος ἦν ἀθηναῖος το γένος.

SINTAXIS ORACIONAL

Oraciones independientes

ἴσως, *tal vez.*
ξίφος, εος (τό), *espada.*
κτείνω, *matar.*
ὁράω, ὄψομαι, *ver.*

153. 1. ὁ Θεὸς φιλεῖ τοὺς ἀνθρώπους.
2. ἴσως αὕτη ἡ βίβλος εἴη ἂν τοῦ κυρίου.
3. ἐνικήθημεν ἂν ὑπὸ τῶν πολεμίων.
4. δίδου μοι τοῦτο τὸ ξίφος. Εἴθε ἔρχοιτο ὁ πατήρ μου.
5. μὴ ποιήσητε τοῦτο. Ἴτε εἰς τὴν πόλιν.
6. ἔδωκα ἂν τῷ ἀδελφῷ τὸ ξίφος, εἰ αὐτὸν εἶδον.
7. οἱ δὲ Ἕλληνες σὺν γέλωτι ἐπὶ τὰς σκηνὰς ἦλθον.

154. 1. τίς ἔκτεινε τὸν στρατηγόν;
2. ἆρα ἦλθε ὁ πατήρ σου; ἆρα οὐκ ἔστι ὁ πατήρ σου;
3. τίς ὄψεται τὸν βασιλέα;
4. ἆρα ἔρχεται ὁ βασιλεὺς ἢ οὔ;
5. ἆρα μὴ νικήσει ὁ στρατηγός;
6. πότερον οἱ στρατηγοὶ νικήσουσιν ἢ φεύξονται;
7. Καὶ ἐνταῦθα Κῦρος ἐξέτασιν τῶν Ἑλληνικῶν ἐποίησεν ἐν τῷ παραδείσῳ.

Oraciones completivas

Completivas enunciativas

προσβάλλω, *atacar.*
νομίζω, *pensar.*
ἀνδρεῖος, *valiente.*
ὁράω, *ver.*
μέμνημαι, *recordar.*
αἰσθάνομαι, *advertir, saber* (gen.).
ἀφικνέομαι, *llegar.*
δέομαι, *deber, tener que.*
ἄρχω, *empezar.*
τρέχω, *correr.*
τολμάω, *atreverse.*
χρή, *ser necesario.*
ὑποκρίνομαι, *responder.*

155. 1. εἶπε ὅτι πολέμιοι προσβάλοιεν.
2. λέγουσι τοὺς πολεμίους προσβάλλειν.
3. ἐνόμισε ὅτι οἱ πολῖται εἶεν ἀνδρεῖοι.
4. εἴδομεν στρατιώτας προσβάλλοντας.
5. μέμνημαι ὢν ἄνθρωπος.
6. αἰσθάνονται ἀφικόμενοι εἰς τὴν οἰκίαν.
7. αὐτὴ ἐλέγετο Κύρῳ δοῦναι χρήματα πολλά.

156. 1. ἤσθετο τῶν πολιτῶν ἀφικομένων.
2. εἴδομεν ὅτι οἱ πολέμιοι ἀφίκοιντο.
3. ὁρᾷ τοὺς πολεμίους ἀφικομένους.
4. εἶπε ὅτι οἱ πολέμιοι ἀφίξοιντο.
5. δέομαι φιλεῖν. Ἦρξε τρέχειν.
6. οὐκ ἐτόλμησαν ἔρχεσθαι. Ἀγαθόν ἐστι φιλεῖν τοὺς γονέας. Ἐχρῆν τρέχειν.
7. ἐλέγετο καὶ Συέννεσις εἶναι ἐπὶ τῶν ἄκρων φυλάττων τὴν εἰσβολήν· διὰ τοῦτο οἱ τοῦ Κύρου στρατιῶται ἔμειναν ἐν τῷ πεδίῳ.

157. 1. εἶδε τὴν στρατιὰν ἐρχομένην.
2. ὑπεκρίνατο ὅτι στρατηγὸς λέγοι ταῦτα.
3. ἠσθόμεθα τῶν πολεμίων προσβαλουμένων.
4. λέγεις ὅτι προσβαλοῦσιν.
5. ἤγγειλα τὸν ἐμὸν πατέρα εἰσέρχεσθαι.
6. εἴδομεν ὅτι ἐκεῖνοι προσβαλοῦσι τῇ πόλει.
7. ἐνταῦθα λέγεται Ἀπόλλων ἐκδεῖραι Μαρσύαν καὶ τὸ δέρμα κρεμᾶσαι ἐν τῷ ἄντρῳ.

Completivas volitivas

ἐλπίζω, *esperar.*
ἀφικνέομαι, *llegar.*
ὑπισχνέομαι, *prometer.*
ἐπιτίθεμαι, *atacar.*
ἐπιθυμέω, *desear.*
προδότης, ου, *traidor.*
κελεύω, *mandar.*
φονεύω, *matar.*
ὁράω, ὄψομαι, εἶδον, ἑώρακα, ὤφθην, *ver.*

158. 1. ἐλπίζω ἀφίξεσθαι. Ὑπέσχετο ἐπιτεθήσεσθαι.
2. ἐπεθύμουν προσβάλλειν. Ἐπεθύμησαν τοὺς στρατιώτας προσβάλλειν.
3. οὐκ ἐκωλύσατε τὸν προδότην φονευθῆναι.
4. ἐκέλευσε τὸν προδότην φονεύεσθαι.
5. ἐφοβούμεθα μὴ οἱ πολέμιοι προσβάλλοιεν.
6. ἐπεμελησάμην ὅπως μὴ οἱ στρατιῶται μαχοῦνται.
7. φοβοῦμαι μὴ ἐπιτιθῶνται τῇ πόλει.
8. ἐκέλευσε τοὺς ἕλληνας ταχθῆναι.
9. ἐντεῦθεν ἐπειρῶντο εἰσβάλλειν εἰς τὴν Κιλίκιαν.

159. 1. φοβοῦμαι μὴ προσβάλλωσιν ἡμῖν.
2. ἐφοβούμην μὴ προσβάλλωσιν (προσβάλλοιεν).
3. φοβοῦμαι μὴ προσέβαλον ἡμῖν.
4. (ἐπιμελοῦ) ὅπως δῶρα δώσεις τοῖς στροτιώταις.

5. φοβοῦμαι ἰέναι εἰς τὴν πόλιν.
6. ἐπεμελεῖτο ὅπως οἱ στρατιῶται μὴ ὀφθήσονται.
7. ἐφοβοῦμην μὴ οὐ οἱ στρατιῶται ἐπιθεῖντο τῇ πόλει.
8. ἐκέλευσε ἐπιχωρῆσαι ὅλην τὴν φάλαγγα.
9. καὶ λέγεται δεηθῆναι ἡ Κίλισσα Κύρου ἐπιδεῖξαι τὸ στράτευμα αὐτῇ· βουλόμενος ἐπιδεῖξαι, ἐξέτασιν ποιεῖται ἐν τῷ πεδίῳ τῶν ἑλλήνων.

Completivas interrogativas

δύναμαι, *poder.*
ἔρομαι, *preguntar.*
σύνθημα, ατος (τό), *contraseña.*
εὐθύς, *pronto, enseguida.*
οἶδα, *saber.*
ἀφικνέομαι, *llegar.*
προσβάλλω, *atacar.*
ἀπέρχομαι, *marchar.*
ὑπισχνέομαι, *prometer.*
φημί, *afirmar, decir.*
βουλεύομαι, *deliberar.*
καίομαι, *arder.*
φόβος, ου (ὁ), *miedo.*
ἔργον, ου, *acción, obra.*
κρίνω, *juzgar.*
καταγιγνώσκω, *condenar.*

160. 1. οὐ δύναμαί σοι λέγειν πότε ἀπέθανε.
2. ὁ Κῦρος ἤρετο τί ἦν τὸ σύνθημα.
3. οὐκ ἴσμεν πότερον ἐνίκησε ἢ οὔ.
4. ἤρετο εἰ εὐθὺς ἀφίξοιτο.
5. οὐκ ᾔδειν οἵτινες ἦλθον (ἔλθοιεν).
6. οὐκ ἴσμεν πότερον προσβαλοῦσιν ἢ ἀπελεύσονται.
7. ὑπέσχετο οὐ καταγνώσεται τοῦ στρατηγοῦ θάνατον.

161. 1. ὑπέσχου ἐλεύσεσθαι εἰς τὸ στρατόπεδον.
2. εἶπον ὅτι ἰδοῖεν (εἶδον) τὴν στρατιὰν καὶ εὐθὺς ἀφίξοιτο (ἀφίξεται).
3. χρὴ βουλεύσασθαι περὶ τῆς εἰρήνης.
4. εἶδον τὴν πόλιν καιομένην (ὅτι ἡ πόλις καίοιτο).
5. ὁ φόβος ἐκώλυσε τοὺς στρατιώτας προσβάλλειν τὴν πόλιν.
6. ἴσμεν ὅτι πάντα ἡμέτερα ἔργα κριθήσοιντο ὑπὸ τοῦ Θεοῦ.
7. εἶδε τοὺς στρατιώτας ἀφικνεομένους εἰς τὴν πόλιν.

Oraciones circunstanciales

Oraciones finales, consecutivas

ὑποχωρέω, *retirarse.*
πορεύομαι, *caminar.*
ῥᾳδίως, *fácilmente.*
καίω, *quemar.*
διαβαίνω, *atravesar.*
ἀνδρεῖος, *valiente.*
φεύγω, *huir.*
ταχέως, *rápidamente.*
ὀνέομαι, *comprar.*
σῖτος, ου (ὁ), *trigo.*
σῖτα, ων (τὰ), *víveres.*
ἄγγελος, ου, *mensajero.*
ἀγγέλλω, *anunciar.*
εὐρύς, εῖα, ύ, *ancho.*
ὑψηλός, *elevado, alto.*
ὄρος, εος (τό), *monte.*
ἀναβαίνω, *subir.*

162. 1. ἡ στρατιὰ ὑπεχώρησε τοῦ μὴ νικηθῆναι.
2. ἦλθε εἰς τὴν πόλιν ἵνα ἴδῃ τον πατέρα.
3. ἔκαυσαν τὰς ναῦς ἵνα οἱ πολέμιοι μὴ διαβάινοιεν τὴν θάλατταν.
4. οὕτως ἀνδρεῖοι ἦσαν οἱ στρατιῶται ὥστε ἀεὶ νικᾶν τοὺς πολεμίους.
5. τοσοῦτοι ἦσαν οἱ πολέμιοι ὥστε οἱ ἀθηναῖοι ἔφυγον.
6. οὕτως ταχέως φεύγει ὥστε μηδένα λαβεῖν αὐτόν.

163. 1. ἐρχόμεθα εἰς τὴν πόλιν ὠνεῖσθαι σῖτα.
2. ἔπεμψα ἀγγέλους οἵτινες τὴν νίκην ἀγγελοῦσιν.
3. οὕτως εὐρὺς ἦν ὁ ποταμὸς ὥστε οὐδεὶς διέβη.
4. τοσοῦτος ἦν ὁ φόβος ὥστε μηδένα στρατιώτην διαβαίνειν τὸν ποταμόν.
5. οὕτως ὑψηλὸν ἦν τὸ ὄρος ὥστε οἱ πολλοὶ τῶν στρατιωτῶν οὐκ ἀνέβησαν.
6. Ἀρταξέρξης λαμβάνει Κῦρον ὡς ἀποκτενῶν.
7. ἔχω γὰρ τριήρεις, ὥστε ἑλεῖν τὸ ἐκείνων πλοῖον.

Oraciones causales

ὅπλον, ου, *arma*.
πείθομαι, *obedecer*.
κατακρίνω, *condenar*.
κτείνω, *matar*.
ῥήτωρ, ορος, *orador*.
ἐπαινέω, *alabar*.
νόμος, ου, *ley*.
βοηθέω, (dat.), *auxiliar*.

164. 1. πάντες ἐφίλουν τὸν στρατηγὸν ὅτι ἀνδρεῖος ἦν.
2. ἐνικήθησαν οἱ στρατιῶται διότι οὐκ εἶχον ὅπλα.
3. ἐπείθεσθε τῷ στρατηγῷ ὅτι ἀνδρεῖος εἴη.
4. κατακρίνουσιν θάνατον αὐτοῦ διότι τὸν στρατηγὸν ἔκτεινε.
5. ἔφυγε τὴν πόλιν διότι οἱ δοῦλοι βούλοιντο αὐτὸν κτείνειν.
6. ὁ ῥήτωρ ἐπῄνει τοὺς πολίτας ὅτι ἐπείθοντο τοῖς νόμοις.
7. οἱ παῖδες φιλοῦσι τὰς μητέρας ὅτι αὗται αὐτοὺς φιλοῦσιν.
8. Τισσαφέρνης διαβάλλει τὸν Κῦρον ὡς ἐπιβουλεύοι τῷ ἀδελφῷ.

Matrona griega

165. 1. πάντες φιλοῦσι τὸν στρατηγὸν διότι ἐστὶ ἀγαθός.
2. ὁ βασιλεὺς ἐπῃνεῖτο, οὐχ ὅτι ἦν ἀνδρεῖος ἀλλὰ ὅτι πᾶσι ἐβοήθει.
3. ἐπαινεῖται διὰ τὸ βοηθεῖν τῷ πολεμίῳ.
4. εἶδον ὅτι αἱ Ἀθηναί εἰσι καλαί.

5. ἐφίλουν τὸν στρατηγὸν ἐπειδὴ ἦν ἀνδρεῖος.
6. εἶπε ὅτι οἱ δοῦλοι κτανοῖεν τὸν δεσπότην.
7. Ἀστυάγης Κῦρον ἰδεῖν ἐπεθύμει, ὅτι ἤκουεν τοῦτο καλὸν εἶναι.

Oraciones condicionales y concesivas

ἆθλον, ου, *premio.*
ῥήτωρ, *orador.*
σιγάω, *callarse.*
ἐπαινέω, *alabar.*
λέγω, *hablar.*
ἀνδρείως, *valientemente.*
ἀνόητος, *necio.*
ἐκβάλλω, *arrojar, expulsar.*
λαλέω, *hablar.*

166. 1. εἰ ἀγαθὸς εἶ, δίδωμί σοι ἆθλον. Εἰ ἀγαθὸς εἴης, δοίην ἄν σοι ἆθλον.
2. εἰ καὶ τοῦτο ἐποίησε, οὐκ ἔδοσαν αὐτῷ ἆθλον. Εἰ κἂν τοῦτο ποιῇ, οὐ δώσουσιν αὐτῷ ἆθλον.
3. εἰ ὁ ῥήτωρ εἶπε, πάντες ἐσίγησαν ἄν. Εἰ ὁ ῥήτωρ εἴπε, πάντες σιγήσουσιν.
4. εἰ τοῦτο ἐποίησας, πάντες ἐπῄνεσαν ἄν σοι. Εἰ τοῦτο ποιοίης, πάντες ἐπαινοῖεν ἄν σοι.
5. ἐὰν ὁ ῥήτωρ λέγῃ, πάντες σιγῶσιν.
6. ἐὰν οἱ στρατιῶται ἀνδρείως μάχωνται, νικήσουσιν.

167. 1. εἰ λέγεις τοῦτο, εἶ ἀνόητος.
2. εἰ οὐκ ἐξεβάλετε τὸν στρατηγόν, ἐνικήσαμεν ἂν τοὺς πολεμίους.
3. ποιήσω τοῦτο, ἐὰν δῷς ἐμοὶ ἆθλον.
4. καὶ ἐὰν ἐμοὶ διδῷς ἆθλον, οὐ τοῦτο ποιήσω.
5. εἰ λάλησαι, πάντες ἤκουον αὐτοῦ.
6. καὶ εἰ ἐλάλησας, οὐκ ἤκουσαν ἄν σου.

Oraciones comparativas y temporales

σπαρτιάτης, ου, *espartano.*
φοβέομαι, *temer.*
ἀπέρχομαι, *marcharse.*
χαίρω, *alegrarse.*
σοφός, *sabio.*
προσβάλλω, *atacar.*

168. 1. ἐὰν οἱ στρατιῶται ἀνδρείως μάχωνται, νικήσουσιν.
2. οἱ ἀθηναῖοι ἐμάχοντο ἄλλως ἢ οἱ σπαρτιᾶται.
3. ἐπεὶ τάχιστα τοὺς πολεμίους εἶδον, ἔφυγον.
4. ἐὰν τὸν στρατηγὸν ἴδῃ, φοβεῖται.
5. ἔλεγον ὥσπερ ἂν εἰ ἐνίκησαν.
6. οὐκ ἀπελεύσονται πρὶν τὸν βασιλέα ἂν ἴδωσιν.
7. πρὶν δὲ τόξευμα ἐξικνεῖσθαι, οἱ βάρβαροι φεύγουσι.
8. ἐπεὶ δὲ ἠσθένει, ἐβούλετο τοὺς υἱοὺς παρεῖναι.

169. 1. φεύξομαι τὴν πόλιν ἐπειδὰν ὁρῶ (ἴδω) τὸν πολέμιον.
2. ἐξ οὗ εἰμι ἀθήνασιν, οὐδεὶς ἀπέθανε.
3. λαλῶ ὥσπερ ἐλάλει ὁ Δημοσθένης.
4. ὅτε ἀφικνοῖτο ὁ πατὴρ ἐμοῦ, ἔχαιρον.
5. ὅταν ὁρῶ τὸν πατέρα ἐμοῦ, χαίρω.
6. ἐλάλουν ὥσπερ ἂν εἰ ἦσαν σοφώτατοι.
7. οἱ πολῖται ἔφυγον τὴν πὸλιν πρὶν τοὺς πολεμίους προσβάλλειν.
8. οὐκ ἔγωγε αὐτοὺς διώξω, οὐδ' ἐρεῖ οὐδεῖς ὡς ἐγώ, ἕως μὲν ἂν παρῇ (está junto a mi) τις, χρῶμαι (le trato bien) τούτῳ, ἐπειδὰν δὲ ἀπίεναι βούληται, συλλαβὼν αὐτὸν κακῶς ποιῶ.

Oraciones participiales

Participios circunstanciales

ἐπιτίθημι, *atacar.*
πορεύομαι, *caminar.*
στρατόπεδον, ου, *campamento.*
ἀμύνομαι, *rechazar.*
διαβαίνω, *atravesar.*
προδότης, *traidor.*
λαμβάνω, *coger.*
ἐρωτάω, *preguntar.*
ἀποκρίνω, *responder.*
ἐργάζομαι, *trabajar.*
ποῦ, *dónde.*
αἱρέω, *conquistar.*
'Αθήναζε, *a Atenas.*
καλέω, *llamar.*

170. 1. οἱ πολέμιοι ἐπέθεντο αὐτοῖς πορευομένοις.
2. στρατόπεδον ποιήσαντες ἠμύναντο τοὺς πολεμίους.
3. ἀπέθανε διαβαίνων τὸν ποταμόν.
4. ὁ προδότης ληφθεὶς ἀπέθανε.
5. οἱ πολῖται ἐρωτηθέντες ἀπεκρίναντο.
6. ἀφικομένων τῶν στρατιωτῶν, οἱ πολῖται ἔφυγον.
7. ἐπὶ τῇ κρήνῃ λέγεται Μίδας τὸν Σάτυρον θηρεῦσαι, οἴνῳ κεράσας κρήνην.

Vestido
(διπλοΐς)

171. 1. ὁ στρατηγός, ὃς εἰσῆλθε τὴν πόλιν, ἀνδρεῖος ἦν.
2. ἀνδρείως μαχόμενοι οἱ στρατιῶται, ἐνικήθησαν.
3. ὁ ἄνθρωπος, ὃς ἐργάζεται, ἀγαθὸς πολίτης ἐστίν.
4. Κύρος ἔπεμψε στρατιώτας ὀψομένους ποῦ ἦσαν οἱ πολέμιοι.
5. μαχομένων τῶν στρατιωτῶν, ὁ στρατηγὸς ἔφυγε.
6. νικήσαντες οἱ ἀθηναῖοι εἷλον τὴν πόλιν.
7. Κῦρος ἀνέβη ἐπὶ τὰ ὄρη, οὐδενὸς κωλύοντος· ἐντεῦθεν κατέβαινεν εἰς πεδίον μέγα· καταβὰς διὰ τούτου ἤλασε σταθμοὺς τέτταρας.

172. 1. νικηθέντος τοῦ στρατεύματος, ἦλθε Ἀθήναζε.
2. ἐπιθεμένου τοῦ στρατεύματος τῇ πόλει, ἔφυγον οἱ πολῖται.
3. ὁ Κῦρος προσβαλὼν τῇ πόλει, ἔλαβεν.
4. νικηθείσης τῆς στρατιᾶς, ἡ πόλις ἐλήφθη.
5. ἡ στρατιά, διαβαίνουσα ποταμόν, διεφθάρη ὑπὸ τῶν πολεμίων.
6. ἔθανε ὁ πατὴρ καλῶν τὸν παίδα.
7. ἡ μήτηρ ὑπῆρχε (favorecía) τῷ Κύρῳ, φιλοῦσα αὐτὸν μᾶλλον ἢ τὸν βασιλεύοντα Ἀρταξέρξην.

Participios completivos

τυγχάνω, *suceder (por casualidad).*
πάρειμι, *estar presente.*
παύομαι, *cesar.*
κελεύω, *mandar.*
φθάνω, *adelantarse.*
τρέχω, *correr.*
ἐκ-φεύγω, *huir.*
δοκέω, *parecer (videor).*
εὐλαβῶς, *con precaución.*
προχωρέω, *avanzar.*
καίπερ, *aunque.*
στρατόπεδον, *campamento.*
ἀπέρχομαι, *salir.*
δέχομαι, *recibir.*
παραδίδωμι, *entregar.*
ἐμβαίνω, *embarcarse.*
ξίφος, εος, *espada.*
αἰσχύνομαι, *estar avergonzado.*
λιμήν, ένος, *puerto.*

173. 1. ἐτύχομεν παρόντες, τοῦ ῥήτορος λέγοντος.
2. ἐπαύσαντο μαχόμενοι, κελεύσαντος τοῦ στρατηγοῦ.
3. ἐφθάσαμεν ἐλθόντες εἰς τὴν πόλιν.
4. οὗτος ὁ παῖς ἔφθασε τρέχων.
5. ἔλαθον ἐκ τῆς πόλεως ἐκφυγόντες.
6. πάντες ἐχαίρομεν ἀκούοντές σε ἀφικόμενον.

Heraldo

174. 1. ἔδοξε τῷ στρατηγῷ εὐλαβῶς προχωρεῖν καίπερ τῶν πολεμίων ἐκ τοῦ στρατοπέδου οὐκ ἀπελθόντων.
2. εἰς τὰ ὄρη οἱ κήρυκες ἀφικόμεθα φθάσαντες τοὺς πολεμίους.
3. ἥδομαι σοὺς φίλους δεχόμενος.
4. ἐξέβαλον τὸν Δημοσθένην (ὡς) παραδόντα τοῖς πολεμίοις τὴν πόλιν.
5. λανθάνοντες ἐξέφυγον τὴν πόλιν καὶ ἐνέβησαν τῇ νηί.
6. πάντες χαίρομεν ἀκούοντες ὅτι ὑμεῖς ἀφίκεσθε.
7. Κῦρος εἶδε τοὺς Ἕλληνας νικῶντας καὶ διώκοντας τοὺς πολεμίους.

175. 1. οἶδα ὅτι οἱ τοῦ Ἀλεξάνδρου στρατιῶται φθάνουσιν ἀφικόμενοι τὴν πόλιν.
2. ἐμαχήσαντο καίπερ οὐκ ἔχοντες τὰ ξίφη.
3. οἱ πολῖται ἐφαίνοντο αἰσχυνόμενοι.
4. αἱ νῆες, λαθοῦσαι τοὺς πολεμίους, ἀφίκοντο εἰς τὴν λιμένα.
5. πάντες χαίρομεν ἀφικόμενοι εἰς τὴν πόλιν.
6. εἶδον τοὺς στρατιώτας προσβαλλόντας τῇ πόλει.
7. Ὁ μὲν πρεσβύτερος τῶν παίδων παρὼν ἐτύγχανε.

Repaso de toda la Sintaxis

176. 1. Ἀρετή, κἂν θάνῃ τις, οὐκ ἀπόλλυται.
2. Χαρίεν ἔστ' ἄνθρωπος, ὅταν ἄνθρωπος ᾖ.
3. Σοφοῖς ὁμιλῶν αὐτὸς ἐκβήσῃ σοφός.
4. Ἀνθρώπους μὲν ἴσως λήσεις ἀτοπόν τι ποιήσας, οὐ λήσεις δὲ θεούς, οὐδὲ λογιζόμενος.
5. Ὁ μηδὲν ἀδικῶν οὐδενὸς δεῖται νόμου.
6. Ἔργοις φιλόπονος ἴσθι, μὴ λόγοις μόνον.
7. Τὸ ζῆν γὰρ ἴσμεν, τοῦ θανεῖν δ' ἀπειρία πᾶς τις φοβεῖται φῶς λιπεῖν τόδ' ἡλίου.
8. Οὐδεὶς ἐπλούτησεν τάχεως δίκαιος ὤν.



Centauro

177. 1. Χρόνος δίκαιον ἄνδρα δείκνυσι μόνος, κακὸν δὲ κἂν ἐν ἡμέρᾳ γνοίης μιᾷ.
2. Μὴ φθονεῖ τοῖς εὐτυχοῦσι, (ἵνα) μὴ δοκῇς εἶναι κακός.
3. Ἐὰν δ' ἔχωμεν χρήμαθ', ἕξομεν φίλους.
4. Ὅταν εἰδέναι θέλῃς σεαυτὸν ὅστις εἶ, ἔμβλεψον εἰς τὰ μνήματα ὡς ὁδοιπορεῖς.
5. Νίκησον ὀργὴν τῷ λογίζεσθαι καλῶς.
6. Λίαν φιλῶν σεαυτὸν οὐχ ἕξεις φίλον.
7. Ἥδομαι ἀκούων σου φρονίμους λόγους.
8. Τὸ πολλὰ τολμᾶν πολλ' ἁμαρτάνειν ποιεῖ.

Jenofonte

JENOFONTE

Jenofonte nació en el Ática entre los años 430 y 435 (a. de J. C.). Recibió una educación esmerada y dicen que oyó las lecciones de Pródico de Ceos y de Isócrates. Pero el que realmente influyó en él fue Sócrates, a quien reverenció como a maestro y como a un oráculo toda su vida.

El año 401 se agregó al Cuerpo expedicionario griego que formaba parte del ejército que levantó Ciro el Menor contra su hermano el Rey de Persia. Derrotado dicho ejército en Cunaxa (401) y muerto el mismo Ciro, se retiró Jenofonte al frente de los griegos a su patria.

Pero muerto Sócrates y viéndose perseguidos los discípulos de éste, marchó a Esparta. En recompensa de los buenos servicios prestados por él a ésta, le fue dada una hermosa finca en Escillonta. Allí vivió treinta años con su mujer e hijos ocupado en escribir sus obras.

En el 365 se le levantó el destierro y volvió poco después a Atenas. Parece que murió en Corinto a mediados del siglo IV.

Jenofonte aparece en todas sus obras como un hombre de moral sana y sencilla, amigo de enseñar el bien. Como literato tiene una gran cualidad: la de escribir sin afectación ninguna y sin pretensiones, con gran sencillez y fluidez de estilo; de aquí que se le lea con agrado y sea llamado «la abeja ática».

Escribió sobre materias filosóficas, militares y políticas. De una de sus obras, de la Anábasis, ponemos algunos trozos.

LA ANÁBASIS

La Anábasis relata la retirada de los Diez mil. Más bien que historia es una obra didáctica y apologética, y además una memoria militar. Parece la publicó primero bajo el seudónimo de Temistógenes el Siracusano, tal vez por conveniencia literaria y por escrúpulo de modestia. La narración está llena de viveza y elegancia; son notables la batalla de Cunaxa, una de las mejores descripciones clásicas en su género, si no por lo patética, por lo pintoresca y viva. Escribe con gran verdad y naturalidad.

Es, sin duda alguna, su obra maestra; pero como documento histórico tiene poco valor. Quiso enseñar cómo se maneja un ejército en circunstancias difíciles y hacer su apología para los atenienses que le reprochaban de laconismo, y para los autores que habían descrito la retirada sin concederle el puesto que él se creía merecer (1).

En fin: aquí, como en todas las demás obras, nos dejó Jenofonte su retrato y su apología, aunque su objeto inmediato fuera la enseñanza y la moralidad. Los hechos se desarrollan entre el 404 al 401 a. de C.

N. B. Ponemos a continuación las monedas y medidas de que habla Jenofonte, con su equivalencia aproximada.

MONEDAS

(Equivalencia en pesetas oro)

ὄβολος, el óbolo	0,16	pts.
δραχμή, la dracma	1	»
χρυσοῦς (στατήρ), el estáter de oro, igual a 20 dracmas	20	»
μνᾶ, la mina, 100 dracmas	100	»
τάλαντον, el talento, vale 100 minas	6.000	»

MEDIDAS DE LONGITUD

πούς, el pie	0,30	mts.
πῆχυς, el codo, 1,5 pies	0,46	»
πλέθρον, el pletro, 100 pies	30	»
στάδιον, el estadio, seis pletros	180	» (2)
παρασάγγης, la parasanga (medida persa), 30 estadios	10.000	»

σταθμός, la etapa, jornada de marcha. La etapa menor que tuvieron fue de tres parasangas; la mayor, de 10 parasangas.

---

(1) Diodoro de Sicilia la cuenta sin mentarle siquiera; tomaba las noticias de otras fuentes históricas.

(2) El estadio olímpico equivalía a 192 metros; el ático, a 184; el que usa Jenofonte, a 150.

LIBRO I

CAPÍTULO I (1-8)

CAUSAS Y PREPARATIVOS DE LA EXPEDICIÓN

Llama Darío a sus dos hijos

178. Δαρείου [1] καὶ Παρυσάτιδος γίγνονται [2] παῖδες δύο, πρεσβύτερος [3] μὲν Ἀρταξέρξης, νεώτερος δὲ Κῦρος. Ἐπεὶ δὲ ἠσθένει Δαρεῖος καὶ ὑπώπτευε τελευτὴν τοῦ βίου, ἐβούλετο τὼ παῖδε ἀμφοτέρω [4] παρεῖναι. Ὁ μὲν οὖν πρεσβύτερος παρὼν ἐτύγχανε [5]. Κῦρον δὲ μεταπέμπεται [6] ἀπὸ τῆς ἀρχῆς, ἧς αὐτὸν σατράπην [7] ἐποίησε καὶ στρατηγὸν δὲ [8] αὐτὸν ἀπέδειξε πάντων, ὅσοι εἰς Καστωλοῦ πεδίον ἀθροίζονται. Ἀναβαίνει [9] οὖν ὁ Κῦρος, λαβὼν [10] Τισσαφέρνην [11] ὡς φίλον καὶ τῶν Ἑλλήνων [12] ἔχων ὁπλίτας τριακοσίους, ἄρχοντα δὲ αὐτῶν Ξενίαν Παρράσιον.

Sátrapa persa

Muerte de Darío; le sucede Artajerjes

179. Ἐπεὶ δὲ ἐτελεύτησε Δαρεῖος καὶ κατέστη εἰς τὴν βασιλείαν [1] Ἀρταξέρξης, Τισσκφέρνης διαβάλλει τὸν Κῦρον πρὸς τὸν ἀδελφόν [2], ὡς ἐπιβουλεύοι αὐτῷ. Ὁ δὲ πείθε-

---

178. [1] Δαρείου. Darío II, rey de Persia, que murió en Babilonia en 404 a. de J. C.

[2] γίγνονται (por ἐγένοντο, nacieron). Presente histórico cuyo uso es muy frecuente en griego, como μεταπέμπεται, ἀναβαίνει, etc.

[3] πρεσβύτερος (de πρέσβυς), el mayor. Artajerjes había nacido hacia 453. Κῦρος, Ciro el *Joven*, llamado así para distinguirle del fundador del Imperio persa, Ciro el *Grande*, de quien habla la *Ciropedia*.

[4] τὼ παῖδε ἀμφοτέρω, dual.

[5] παρὼν ἐτύγχανε, se hallaba presente por casualidad. Gr. n.° 348.

[6] μεταπέμπεται, hace venir. Presente histórico. Adviértase que está en la voz media y que el sujeto es Darío. ἀρχή, aquí significa Estado, provincia. Compárese con la palabra castellana principado.

[7] σατράπην. El Imperio persa estaba dividido en 20 satrapías o provincias; la de Ciro comprendía Lidia, Frigia y Capadocia. El sátrapa era casi un soberano en su provincia.

[8] καὶ... δέ, y además.

[9] ἀναβαίνει, lit. sube. Es decir: va desde la costa al interior de Asia.

[10] λαβὼν, y ἔχων, pueden traducirse por la partícula *con*. Gr. n.° 345, nota 4.

[11] Τισσαφέρνης, noble persa, sátrapa de Lidia, Jonia y Caria. Vio reducida su provincia cuando Ciro fue nombrado sátrapa de Lidia; de ahí su rivalidad contra el joven príncipe. ὡς φίλον, lit. como amigo. Es decir: creyéndolo amigo. τῶν Ἑλλήνων, de los griegos (que tenía a su servicio).

179. [1] κατέστη εἰς τὴν βασιλείαν, lit. se constituyó en el reino. Nótese que el aoristo 2.° de ἵστημι y sus compuestos tienen sentido intransitivo.

[2] πρὸς τὸν ἀδελφόν, ante su hermano. ἐπιβουλεύοι, maquinaba. Está en optativo, porque el verbo principal, de quien depende, διαβάλλει es un presente histórico.

ται καὶ λαμβάνει Κῦρον ὡς ἀποκτενῶν [3]. ἡ δὲ μήτηρ ἐξαιτησαμένη [4] αὐτὸν ἀποπέμπει πάλιν ἐπὶ τὴν ἀρχήν.

Ciro conspira contra su hermano Artajerjes

180. Ὁ δ', ὡς ἀπῆλθε [1] κινδυνεύσας καὶ ἀτιμασθείς, βουλεύεται [2] ὅπως μήποτε ἔτι ἔσται ἐπὶ τῷ ἀδελφῷ [3], ἀλλά, ἢν δύνηται [4], βασιλεύσει ἀντ' ἐκείνου. Παρύσατις μὲν δὴ ἡ μήτηρ ὑπῆρχε τῷ Κύρῳ [5], φιλοῦσα αὐτὸν μᾶλλον ἢ τὸν βασιλεύοντα Ἀρταξέρξην. Ὅστις δ' ἀφικνοῖτο τῶν παρὰ βασιλέως πρὸς αὐτόν [6], πάντας [7] οὕτω διατιθεὶς [8] ἀπεπέμπετο, ὥστε αὐτῷ μᾶλλον φίλους εἶναι [9] ἢ βασιλεῖ.

Hoplita (ὁπλίτης)

Ciro recluta tropas

181. Καὶ τῶν παρ' ἑαυτῷ δὲ βαρβάρων ἐπεμελεῖτο ὡς πολεμεῖν τε ἱκανοὶ εἶησαν [1] καὶ εὐνοϊκῶς ἔχοιεν [2] αὐτῷ.

Τὴν δὲ Ἑλληνικὴν δύναμιν ἤθροιζεν ὡς μάλιστα [3] ἐδύνατο ἐπικρυπτόμενος, ὅπως ὅτι ἀπαρασκευότατον [4] λάβοι [5] βασιλέα.

---

[3] ὡς ἀποκτενῶν, para matarle. Gr. n.° 294.

[4] ἐξαιτησαμένη, habiéndolo pedido. Obsérvese la razón de usar la voz media.

180. [1] ὁ δ', ὡς ἀπῆλθε, lit. éste luego que marchó. Gr. n.° 332.

[2] βουλεύεται ὅπως, piensa cómo. — μήποτε ἔτι, nunca más.

[3] ἐπὶ τῷ ἀδελφῷ, en poder de su hermano. Gr. n.° 189.

[4] ἢν δύνηται, lit. si puede —ἤν— ἐάν—εἰ ἄν. Adviértase que siempre se usa con subj. Gr. n.° 324.

[5] ὑπῆρχε τῷ Κύρῳ, favorecía a Ciro.

[6] ὅστις δ' ἀφικνοῖτο τῶν παρὰ βασιλέως, cualquiera que viniera de los del rey (es decir: de la Corte). — βασιλεύς sin artículo significaba para los griegos el Gran Rey, el rey de Persia.

[7] πάντας, es antecedente de ὅστις y complemento de ἀπεπέμπετο, voz media. A todos los enviaba...

[8] οὕτω διατιθεὶς... ὥστε, disponiéndolos de tal manera que...

[9] ὥστε... εἶναι. Oración consecutiva. Gr. n.° 316.

181. [1] τῶν... εἶησαν. Constrúyase así: ἐπεμελεῖτο ὡς οἱ βάρβαροι παρ' ἑαυτῷ ἱκανοί τε πολεμεῖν εἶησαν καὶ... Hay aquí un caso de prolepsis (anticipación). Gr. n.° 301. — ἱκανοὶ πολεμεῖν, aptos para guerrear.

[2] εὐνοϊκῶς ἔχοιεν = εὔνοοι εἶεν. El verbo ἔχω, con un adverbio, equivale al verbo εἰμί, con un adjetivo. — εἶησαν... ἔχοιεν, los verbos de procurar. Gr. n.° 308. Jenofonte emplea ὡς en vez de ὅπως.

[3] ὡς μάλιστα ἐδύνατο, como mejor podía. Debe unirse a ἐπικρυπτόμενος. Nótese el sentido de la voz media, ocultándose.

[4] ὅτι ἀπαρασκευότατον, lo más desprevenido; ὡς y ὅτι, con el superlativo de adjetivos o de adverbios, equivalen en latín a *quam* con superlativo. Gr. n.° 224.

[5] λάβοι. En las oraciones finales (ὡς, ὅπως, ἵνα), Gr. n.° 314.

Capítulo II (1-26)

MARCHA DE SARDES A TARSO

Ciro reúne su ejército en Sardes

182. Ἐπεὶ δ' ἐδόκει αὐτῷ [1] ἤδη πορεύεσθαι ἄνω [2], τὴν μὲν πρόφασιν ἐποιεῖτο, ὡς Πισίδας βουλόμενος [3] ἐκβαλεῖν παντάπασιν ἐκ τῆς χώρας [4]· καὶ ἀθροίζει ὡς ἐπὶ τούτους [5] τό τε βαρβαρικὸν [6] καὶ τὸ Ἑλληνικόν.

Ἐνταῦθα [7] καὶ παραγγέλλει τῷ τε Κλεάρχῳ λαβόντι ἥκειν, ὅσον ἦν αὐτῷ [8] στράτευμα, καὶ τῷ Ἀριστίππῳ συναλλαγέντι [9] πρὸς τοὺς οἴκοι ἀποπέμψαι πρὸς ἑαυτόν, ὃ εἶχε στράτευμα [10]· καὶ Ξενίᾳ τῷ Ἀρκάδι, ὃς αὐτῷ [11] προειστήκει [12] τοῦ ἐν ταῖς πόλεσι [13] ξενικοῦ ἥκειν παραγγέλλει, λαβόντα τοὺς ἄλλους πλὴν ὁπόσοι ἱκανοὶ ἦσαν [14] τὰς ἀκροπόλεις φυλάττειν.

183. Ἐκάλεσε δὲ καὶ τοὺς Μίλητον πολιορκοῦντας, καὶ τοὺς φυγάδας ἐκέλευσε σὺν αὐτῷ στρατεύεσθαι, ὑποσχόμενος αὐτοῖς, εἰ καλῶς κα-

---

182. [1] ἐπεὶ δ' ἐδόκει αὐτῷ, cuando le pareció bien para venir.

[2] ἄνω, hacia arriba, hacia el interior. Cfr. n.° 191, 9. ἀναβαίνει. De ahí viene al título de esta obra de Jenofonte: *Anábasis*; literalmente, «subida», si bien este título sólo corresponde exactamente al primer libro, hasta la muerte de Ciro. Los seis libros restantes cuentan detalladamente la «Retirada de los Diez Mil».

[3] ὡς... βουλόμενος, daba esta excusa: que quería. Gr. n.° 343, nota.

[4] ἐκ τῆς χώρας, de *su* país. Adviértase que en griego sólo se emplea el pronombre posesivo cuando es necesario para el sentido, y en los demás casos basta usar el artículo.

[5] ὡς ἐπὶ τούτους, como (para ir) contra éstos.

[6] τὸ βαρβαρικόν, τὸ Ἑλληνικόν. Puede suplirse στράτευμα. El ejército bárbaro (persa) de Ciro constaba de cien mil hombres.

[7] ἐνταῦθα, entonces.

[8] τῷ Κλεάρχῳ λαβόντι (τόσον) στράτευμα ὅσον ἦν αὐτῷ. Ordena a Clearco que venga con todo el ejército que tenía, (atracción inversa). Clearco era un general espartano desterrado de su patria por haber desobedecido a los jefes de Esparta. Ciro le había acogido con benevolencia, reconociendo sus cualidades, y le había dado dinero para reclutar un ejército con el que hacía la guerra a los tracios.

[9] τῷ Ἀριστίππῳ συναλλαγέντι, y a Aristipo, que habiendo hecho las paces con sus compatriotas...

[10] ἀποπέμψαι... στράτευμα. — ἀποπέμψαι πρὸς ἑαυτὸν στράτευμα ὃ εἶχε. Gr. n° 219.

[11] αὐτῷ, dativo de interés. Se refiere a Ciro.

[12] ὃς... προειστήκει, el cual estaba al frente de. Rige este verbo genitivo.

[13] ἐν ταῖς πόλεσι, en las ciudades (de Jonia).

[14] λαβόντα τοὺς ἄλλους πλὴν... ἦσαν, con todos los demás, excepto los que eran suficientes para...—λαβόντα está en acusativo porque concierta con el sujeto sobreentendido de ἥκειν. En las frases anteriores dice λαβόντι y συναλλαγέντι, por concertar con el sustantivo inmediato. Ambas formas son igualmente correctas.

ταπράξειεν ἐφ' ἃ [1] ἐστρατεύετο, μὴ πρόσθεν παύσεσθαι, πρὶν αὐτοὺς καταγάγοι οἴκαδε [2]. Οἱ δὲ ἡδέως ἐπείθοντο · ἐπίστευον γὰρ αὐτῷ · καὶ λαβόντες τὰ ὅπλα παρῆσαν εἰς Σάρδεις [3].

Tisafernes da aviso al Rey

184. Τισσαφέρνης δὲ κατανοήσας ταῦτα, καὶ μείζονα [1] ἡγησάμενος εἶναι ἢ ὡς ἐπὶ Πισίδας [2] τὴν παρασκευήν, πορεύεται ὡς βασιλέα [3] ἧ ἐδύνατο τάχιστα [4], ἱππέας ἔχων ὡς πεντακοσίους. Καὶ βασιλεὺς μὲν δή, ἐπεὶ ἤκουσε Τισσαφέρνους [5] τὸν Κύρου στόλον, ἀντιπαρεσκευάζετο.

Ciro se pone en marcha con su ejército

(6 a 20 de marzo del 401)

185. Κῦρος δὲ ἔχων οὓς εἴρηκα [1], ὡρμᾶτο [2] ἀπὸ Σάρδεων· καὶ ἐξελαύνει [3] διὰ τῆς Λυδίας σταθμοὺς [4] τρεῖς, παρασάγγας [5] εἴκοσι καὶ

---

183. [1] ἐφ' ἃ (= ταῦτα ἐφ' ἃ) ἐστρατεύετο, aquello por lo que hacía la expedición, es decir: sus proyectos, fin. — παύσεσθαι, que no desistiría... Está en futuro por depender de ὑποσχόμενος. Gr. n.° 305.

[2] πρὶν αὐτοὺς καταγάγοι οἴκαδε, lit. hasta que los devolviera a su casa (repatriase). — καταγάγοι es opt. aoristo 2.° Gr. n.° 333.

[3] εἰς Σάρδεις, lit. en Sardes. Es frecuente en griego construir con εἰς y acusativo verbos que significan reposo, cuando son el resultado de un movimiento precedente. Sardes, capital de Lidia a orillas del río Pactolo, era la residencia habitual de Ciro, y fue el punto de partida de su expedición.

184. [1] μείζονα concierta con τὴν παρασκευήν.

[2] μείζονα... ἢ ὡς ἐπὶ Πισίδας, mayor que (si fuera) contra los de Pisidia.

[3] ὡς βασιλέα, al Rey. — ὡς sólo puede usarse en este sentido con nombres de personas. Gr. n.° 256.

[4] ἧ ἐδύνατο τάχιστα, por donde más rápidamente podía.

[5] Τισσαφέρνους τὸν Κύρου στόλον, genitivo de persona y acusativo de cosa. Gr. n.° 252.

185. [1] οὓς εἴρηκα, lit. los que he dicho. Gr. n.° 217.

[2] ὡρμᾶτο, salió. Usa el imperfecto porque indica una acción continuada, como es la que supone poner en movimiento unos 150.000 hombres, entre griegos y persas. Esta partida debió de tener lugar a mediados de marzo del año 401. Señalar fecha concreta resulta muy difícil. Sin embargo, para poder orientarnos algo, pondremos las fechas aproximadas que pone Loschaert.

[3] ἐξελαύνει (intrans.), avanza, sale, marcha.

[4] σταθμοὺς significa unas veces día de camino, jornada (en latín, *iter*), y otras, lugar donde se acampa, o se hace alto (en latín, *statio*). Adviértase que aquí es acusativo de duración. Gr. n.° 263.

[5] παρασάγγας, acus. de distancia o espacio, si bien puede traducirse como complemento del verbo.

δύο ἐπὶ τὸν Μαίανδρον ποταμόν. Τούτου τὸ εὖρος δύο πλέθρα· γέφυρα δὲ ἐπῆν ἐζευγμένη πλοίοις [6]. Τοῦτον διαβὰς ἐξελαύνει διὰ Φρυγίας σταθμὸν ἕνα, παρασάγγας ὀκτὼ εἰς Κολοσσάς [7], πόλιν οἰκουμένην [9] καὶ εὐδαίμονα καὶ μεγάλην.

Soldado peltasta (πελταστής)

El palacio real de Célenas

186. Ἐνταῦθα Κύρῳ βασίλεια [1] ἦν καὶ παράδεισος μέγας, ἀγρίων θηρίων πλήρης, ἃ ἐκεῖνος ἐθήρευεν ἀπὸ ἵππου, ὁπότε γυμνάσαι βούλοιτο ἑαυτόν τε καὶ τοὺς ἵππους. Διὰ μέσου δὲ τοῦ παραδείσου ῥεῖ ὁ Μαίανδρος ποταμός· αἱ δέ πηγαὶ αὐτοῦ εἰσιν ἐκ τῶν βασιλείων [2]· ῥεῖ δὲ καὶ διὰ τῆς Κελαινῶν πόλεως.

187. Ἔστι δὲ καὶ μεγάλου βασιλέως [1] βασίλεια ἐν Κελαιναῖς ἐπυμνὰ ἐπὶ ταῖς πηγαῖς τοῦ Μαρσύου ποταμοῦ ὑπὸ [2] τῇ ἀκροπόλει· ῥεῖ δὲ καὶ οὗτος διὰ τῆς πόλεως καὶ ἐμβάλλει εἰς τὸν Μαίανδρον· τοῦ δὲ Μαρσύου τὸ εὖρός ἐστιν εἴκοσι καὶ πέντε ποδῶν [3].

188. Ἐνταῦθα λέγεται Ἀπόλλων [1] ἐκδεῖραι Μαρσύαν [2] νικήσας ἐρίζοντα οἱ [3] περὶ σοφίας [4], καὶ τὸ δέρμα κρεμάσαι ἐν τῷ ἄντρῳ, ὅθεν [5] αἱ πηγαί· διὰ δὲ τοῦτο ὁ ποταμὸς καλεῖται Μαρσύας. Ἐνταῦθα Ξέρξης,

---

[6] γέφυρα . . . ἐζευγμένη πλοίοις. Compárese con la frase latina: *pontem navibus iungere*; ἐζευγμένη es perf. de ζεύγνυμι.

[7] Κολοσσάς, Colosos, ciudad de Frigia, a la orilla del río Lico. οἰκουμένην, lit. habitada, por oposición a otras ciudades arruinadas o abandonadas a causa de las guerras, tan frecuentes en el Imperio persa.

186. [1] βασίλεια, nominat. plural de βασίλειον, palacio.—βασιλεία, reino; βασίλεια, reina.

[2] αἱ δέ πηγαὶ αὐτοῦ εἰσιν ἐκ τῶν βασιλείων, y sus fuentes están en el palacio. Adviértase esta construcción (en vez de ἐν con dativo), porque el río brota del sitio donde tiene sus fuentes.

187. [1] μεγάλου βασιλέως, el gran rey, el rey de Persia.

[2] ὑπό con dativo, debajo de (lat. *sub.)*.

[3] εἴκοσι καὶ πέντε ποδῶν, de 25 pies. El pie griego equivale a unos 30 centímetros.

188. [1] Ἐνταῦθα λέγεται Ἀπόλλων; Gr. n.° 302.

[2] Μαρσύαν, sátiro frigio que quiso competir con Apolo en habilidad musical.

[3] οἱ (lat. *sibi*) se refiere a Apolo, sujeto del verbo principal.

[4] περὶ σοφίας.— σοφία (lat. *ars)*, habilidad

[5] ὅθεν (=ἐξ οὗ) αἱ πηγαί (εἰσιν).

ὅτε ἐκ τῆς Ἑλλάδος ἡττηθεὶς τῇ μάχῃ [6] ἀπεχώρει, λέγεται οἰκοδομῆσαι ταῦτά τε τὰ βασίλεια καὶ τὴν Κελαινῶν ἀκρόπολιν.

Descanso y revista de las tropas griegas

(21 de marzo a 19 de abril)

189. Ἐνταῦθα ἔμεινε Κῦρος ἡμέρας τριάκοντα· καὶ ἦκε Κλέαρχος, ὁ Λακεδαιμόνιος φυγάς, ἔχων ὁπλίτας χιλίους καὶ πελταστὰς Θρᾷκας ὀκτακοσίους καὶ τοξότας Κρῆτας [1] διακοσίους. Ἅμα δὲ καὶ Σῶσις παρῆν ὁ Συρακόσιος ἔχων ὁπλίτας τριακοσίους, καὶ Ἀγίας ὁ Ἀρκὰς ἔχων ὁπλίτας χιλίους. Καὶ ἐνταῦθα Κῦρος ἐξέτασιν καὶ ἀριθμὸν τῶν Ἑλλήνων ἐποίησεν ἐν τῷ παραδείσῳ, καὶ ἐγένοντο οἱ σύμπαντες ὁπλῖται μὲν μύριοι καὶ χίλιοι, πελτασταὶ δὲ ἀμφὶ τοὺς δισχιλίους [2].

Carricoche (ἁρμάμαξα)

De Peltas a Misia

(21 a 26 de abril)

190. Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς δύο, πασραάγγας δέκα εἰς Πέλτας, πόλιν οἰκουμένην. Ἐνταῦθ' ἔμεινεν ἡμέρας τρεῖς· ἐν αἷς [1] Ξενίας Ἀρκὰς τὰ Λύκαια ἔθυσε [2] καὶ ἀγῶνα ἔθηκε ἀγῶνα [3]· τὰ δὲ ἆθλα ἦσαν στλεγγίδες [4] χρυσαῖ· ἐθεώρει δὲ τὸν ἀγῶνα καὶ Κῦρος. Ἐντεῦθεν

---

[6] τῇ μάχῃ, en la batalla (de Salamina, 480).

189. [1] ὁπλίτης, soldado de armadura pesada.—πελτάστης, soldado de armadura ligera.—τοξότας Κρῆτας, los arqueros cretenses eran los más famosos del mundo; lo mismo que los honderos de Baleares.

[2] ἀμφὶ τοὺς δισχιλίους (lat. *circiter*), alrededor de dos mil.

190. [1] ἐν αἷς, en las cuales. Adviértase que se usa la preposición para señalar el espacio de tiempo dentro de cuyos límites tiene lugar el hecho. De lo contrario, se omitiría.

[2] τὰ Λύκαια ἔθυσε, celebró con sacrificios (lit. sacrificó) las fiestas Liceas. Estas fiestas en honor de Ζεὺς Λύκαιος (Júpiter Liceo), se celebraban en Arcadia, en el monte Liceo.

[3] καὶ ἀγῶνα ἔθηκε, y organizó unos juegos.

[4] στλεγγίδες, estregaderas. Eran éstas unos instrumentos de metal que se usaban, principalmente en el baño, para quitar el sudor o el polvo que cubría la piel. Como se ve, su fin era análogo al de nuestras esponjas o cepillos, aunque su forma era totalmente diversa.



La ruta de los Diez mil

ἐξελαύνει σταθμοὺς δύο, παρασάγγας δώδεκα ἐς Κεράμων ἀγοράν [5], πόλιν οἰκουμένην, ἐσχάτην πρὸς τῇ Μυσίᾳ χώρᾳ.

Ciro paga las soldadas atrasadas

(27 de abril a 4 de marzo)

191. Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς τρεῖς, παρασάγγας τριάκοντα εἰς Καΰστρου πεδίον [1], πόλιν οἰκουμένην. Ἐνταῦθ' ἔμεινεν ἡμέρας πέντε · καὶ τοῖς στρατιώταις ὠφείλετο μισθὸς πλέον ἢ τριῶν μηνῶν [2], καὶ πολλάκις ἰόντες ἐπὶ τὰς θύρας [3] ἀπήτουν.

---

[5] Κεράμων ἀγοράν (lit. mercado de alfarería). Era, indica Jenofonte, una ciudad lindante con la Misia.

191. [1] Καΰστρου πεδίον, Caistropedio (lit. Llanura del Caistro).

[2] μισθὸς πλέον ἢ τριῶν μενῶν, lit. la paga de más de tres meses. Los soldados no llevan más de cincuenta y cuatro días de marcha, lo cual hace sospechar que debieron de estar acampados bastante tiempo alrededor de Sardes.

[3] ἐπὶ τὰς θύρας, lit. a sus puertas. Adviértase que con estas palabras expresaban los griegos el palacio del rey de Persia; aquí significa el cuartel general de Ciro. ἀπ-ήτουν, de ἀπ-αιτέω.

192. Ὁ δὲ ἐλπίδας λέγων διῆγε καὶ δῆλος ἦν ἀνιώμενος [1] · οὐ γὰρ ἦν πρὸς τοῦ Κύρου τρόπου [2] ἔχοντα [3] μὴ ἀποδιδόναι. Ἐνταῦθα ἀφικνεῖται Ἐπύαξα, ἡ Συεννέσιος γυνή, τοῦ Κιλίκων βασιλέως, παρὰ Κῦρον · καὶ ἐλέγετο Κύρῳ δοῦναι χρήματα πολλά. Τῇ δ' οὖν [4] στρατιᾷ τότε ἀπέδωκε Κῦρος μισθὸν τεττάρων μηνῶν. Εἶχε δὲ ἡ Κίλισσα φυλακὴν περὶ αὐτὴν [5] Κίλικας καὶ Ἀσπενδίους [6].



Loriga laminada

Marcha por Frigia. Revista de las tropas en Tirieo

(5 a 11 de mayo)

193. Ἐντεῦθεν δὲ ἐλαύνει σταθμοὺς δύο, παρασάγγας δέκα εἰς Θύμβριον, πόλιν οἰκουμένην. Ἐνταῦθα ἦν παρὰ [1] τὴν ὁδὸν κρήνη ἡ Μίδου καλουμένη, τοῦ Φρυγῶν βασιλέως, ἐφ' ᾗ λέγεται Μίδας τὸν Σάτυρον [2] θηρεῦσαι, οἴνῳ κεράσας αὐτήν [3]. Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς δύο, παρασάγγας δέκα εἰς Τυριάειον, πόλιν οἰκουμένην. Ἐνταῦθα ἔμεινεν ἡμέρας τρεῖς.

194. Καὶ λέγεται δεηθῆναι ἡ Κίλισσα [1] Κύρου ἐπιδεῖξαι τὸ στράτευμα αὐτῇ · βουλόμενος οὖν ἐπιδεῖξαι, ἐξέτασιν ποιεῖται ἐν τῷ πεδίῳ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων. Ἐκέλευσε δὲ τοὺς Ἕλληνας, ὡς νόμος αὐτοῖς εἰς μάχην [2], οὕτω ταχθῆναι καὶ στῆναι, συντάξαι δ' ἕκαστον τοὺς ἑαυτοῦ [3]. Ἐτάχθησαν οὖν ἐπὶ τεττάρων [4] · εἶχε δὲ τὸ μὲν

---

192. [1] ὁ δὲ ἐλπίδας λέγων... y él pasaba el tiempo dándoles (= no cesaba de darles) buenas esperanzas, y era claro que estaba disgustado. Adviértase esta construcción personal, peculiar del griego. Gr. n.° 302.

[2] πρὸς τοῦ Κύρου τρόπου, según, conforme al carácter de Ciro.

[3] ἔχοντα. El participio tiene sentido temporal o condicional: cuando tenía, si tenía. Debe concertar con αὐτόν, que no está expresado. Gr. n.° 345.

[4] δ' οὖν, y en realidad. Opone un hecho real a los «dichos» de la frase anterior.

[5] περὶ αὐτὴν — περὶ ἑαυτήν. Obsérvese el espíritu de la primera forma.

[6] Κίλικας καὶ Ἀσπενδίους, van en oposición de φυλακήν. Aspendo era una ciudad de Panfilia.

193. [1] παρά, con acus. en la cuestión de lugar «en donde», significa cerca de.

[2] τὸν Σάτυρον. Este sátiro era Sileno, el protector y compañero de Baco. Midas fue un rey de Frigia célebre en la mitología griega.

[3] οἴνῳ κεράσας αὐτήν, echando vino en ella. κεράσας de μεράγνυμι.

194. [1] λέγεται δεηθῆναι ἡ Κίλισσα, se dice que la Cilicia le pidió... Gr. número 302. — ἐδεήθην, de δέομαι, necesidad, pedir a (con genit. sin prep.). Gr. n.° 251.

[2] ὡς νόμος(ἦν) αὐτοῖς (τάττεσθαι) εἰς (τὴν) μάχην.

[3] συντάξαι δ' ἕκαστον τοὺς ἑαυτοῦ, y que cada jefe (ἕκαστον τὸν στρατηγόν) pusiera en formación a los suyos.

[4] ἐπὶ τεττάρων, de cuatro en fondo.



Carro de guerra

δεξιὸν [5] Μένων καὶ οἱ σὺν αὐτῷ, τὸ δὲ εὐώνυμον Κλέαρχος καὶ οἱ ἐκείνου, τὸ δὲ μέσον οἱ ἄλλοι στρατηγοί.

195. Ἐθεώρει [1] οὖν ὁ Κῦρος πρῶτον μὲν τοὺς βαρβάρους · οἱ δὲ παρήλαυνον τεταγμένοι κατὰ ἴλας καὶ κατὰ τάξεις [2] · εἶτα δὲ τοὺς Ἕλληνας [3], παρελαύνων ἐφ' ἅρματος [4] καὶ ἡ Κίλισσα ἐφ' ἁρμαμάξης. Εἶχον δὲ πάντες κράνη χαλκᾶ καὶ χιτῶνας [5] φοινικοῦς καὶ κνημῖδας [6] καὶ τὰς ἀσπίδας ἐκκεκαλυμμένας [7].

Terror de los bárbaros

196. Ἐπειδὴ δὲ πάντας παρήλασε, στήσας [1] τὸ ἅρμα πρὸ τῆς φάλαγγος μέσης, πέμψας Πίγρητα τὸν ἑρμηνέα παρὰ τοὺς στρατηγοὺς [2] τῶν Ἑλλήνων, ἐκέλευσε προβαλέσθαι τὰ ὅπλα [3] καὶ ἐπιχωρῆσαι [4] ὅλην τὴν φάλαγγα. Οἱ δὲ ταῦτα προεῖπον τοῖς στρατιώταις · καὶ ἐπεὶ ἐσάλπιγξε [5], προβαλόμενοι τὰ ὅπλα ἐπῆσαν.



Grebas (κνημῖς)

197. Ἐκ δὲ τούτου [1] θᾶττον προϊόντων σὺν κραυγῇ ἀπὸ τοῦ αὐτομάτου [2] δρόμος ἐγένετο τοῖς στρατιώταις ἐπὶ [3] τὰς σκηνάς, τῶν δὲ

---

[5] τὸ δεξιὸν, el ala derecha: se entiende (κέρας). — τὸ μέσον, el centro.

195. [1] ἐθεώρει, pasó revista.

[2] κατὰ ἴλας καὶ κατὰ τάξεις, por escuadrones (los de caballería) y por compañías (los de infantería).

[3] εἶτα δ' (ἐθεώρει) τοὺς Ἕλληνας.

[4] ἅρμα, carro de guerra de dos ruedas; ἁρμάμαξα (lit. carricoche), coche o carroza de viaje.

[5] χιτῶνας. La túnica era la parte principal del vestido entre los antiguos y se ceñía por medio de un cinturón. Los soldados solían llevarla más corta que los demás, y de algún color vivo; por ejemplo rojas, como aquí se indica.

[6] κνημῖδας (lat. *ocreae)*; grebas: pieza de la armadura que cubría desde la rodilla hasta el pie.

[7] ἐκκεκαλυμμένας, part. de perf. de εκκαλύπτω.

196. [1] στήσας aor. 1.°) tiene sentido transitivo: habiendo colocado su carro delante de...

[2] παρὰ τοὺς στρατηγοὺς, a los jefes...

[3] προβαλέσθαι τὰ ὅπλα, lit. poner delante las armas.

[4] ἐπιχωρῆσαι, lit. *in hostem procedere*. Adviértase que el sujeto de ambos infinitivos es ὅλην τὴν φάλαγγα.

[5] ἐσάλπιγξε se entiende el sujeto: ὁ σαλπικτής.

197. [1] ἐκ... τούτου, *inde*. — προϊόντων, sup. αὐτῶν, genit. absoluto.

[2] ἀπὸ τοῦ αὐτομάτου, *sua sponte*.

[3] δρόμος ἐγένετο τοῖς στρατιώταις ἐπὶ, los soldados se pusieron a correr hacia...

βαρβάρων φόβος πολύς [4], καὶ ἥ τε Κίλισσα ἔφυγεν ἐπὶ τῆς ἁρμαμάξης, καὶ οἱ ἐκ τῆς ἀγορᾶς [5] καταλιπόντες τὰ ὤνια ἔφυγον. Οἱ δὲ Ἕλληνες σὺν γέλωτι ἐπὶ τὰς σκηνὰς ἦλθον. Ἡ δὲ Κίλισσα ἰδοῦσα τὴν λαμπρότητα καὶ τὴν τάξιν τοῦ στρατεύματος ἐθαύμασε· Κῦρος δὲ ἥσθη [6] τὸν ἐκ τῶν Ἑλλήνων εἰς τοὺς βαρβάρους φόβον ἰδών.

Capítulo IV (6-14)

DE SIRIA AL ÉUFRATES

Deserción de Jenias y Pasión

(4 a 11 de julio)

198. Ἐντεῦθεν [1] ἐξελαύνει διὰ Συρίας [2] σταθμὸν ἕνα, παρασάγγας πέντε εἰς Μυρίανδον, πόλιν οἰκουμένην ὑπὸ Φοινίκων ἐπὶ τῇ θαλάττῃ, ἐμπόριον δ' ἦν τὸ χωρίον καὶ ὥρμουν [3] αὐτόθι ὁλκάδες πολλαί.



Brazalete (ψέλλιον)

199. Ἐνταῦθ' ἔμεινεν ἡμέρας ἑπτά. καὶ Ξενίας ὁ Ἀρκὰς καὶ Πασίων ὁ Μεγαρεὺς ἐμβάντες εἰς πλοῖον καὶ τὰ πλείστου ἄξια ἐνθέμενοι [1], ἀπέπλευσαν, ὡς

---

4 φόβος πολύς, súplase ἐγένετο.

5 οἱ ἐκ τῆς ἀγορᾶς, lit. y los del mercado. La frase completa sería así: οἱ ἐν τῇ ἀγορᾷ ἔφυγον ἐκ τῆς ἀγορᾶς. Es de advertir que había en el ejército una plaza para el mercado, en la que los vendedores, lidios la mayor parte, vendían a los soldados trigo y vino, y compraban el botín que ellos cogían.

6 ἥσθη (de ἥδομαι): se alegró al ver el miedo que los griegos infundían a los bárbaros (ἐκ señala el origen).

198. 1 Ἐντεῦθεν. El ejército de Ciro había pasado ya sin encontrar ninguna resistencia el desfiladero de Siria (hoy Sakaltutan). Era éste un paso estrecho entre el monte Amanos y el golfo de Iso, cerrado por dos murallas que distaban entre sí unos 550 metros y llegaban hasta el mar. Por entre ambas corría el río Carso y en las dos había puertas.

2 Συρίας. Siria. Este nombre comprendía toda la región del Asia Occidental que se extiende desde el Mediterráneo hasta el Éufrates, y desde el monte Tauro hasta Egipto. Quedaban, pues, incluídas en esta denominación Fenicia y Palestina.

3 ὥρμουν (de ὁρμεω), levar anclas. ὁλκάδες, navíos de comercio.

199. 1 ἐνθέμενοι (de τίθημι), está en la voz media porque se trata de sus propios bienes.

μὲν τοῖς πλείστοις ἐδόκουν, φιλοτιμηθέντες [2], ὅτι τοὺς στρατιώτας αὐτῶν τοὺς παρὰ Κλέαρχον ἀπελθόντας εἶα Κῦρος τὸν Κλέαρχον ἔχειν. Ἐπεὶ δ' ἦσαν ἀφανεῖς, διῆλθε λόγος, ὅτι διώκει αὐτοὺς Κῦρος τριήρεσι · καὶ οἱ μὲν ηὔχοντο ὡς δειλοὺς ὄντας [3] αὐτοὺς ληφθῆναι, οἱ δ' ὥκτιρον εἰ ἁλώσοιντο [4].

Nave de guerra

Ciro reprueba la conducta de los desertores

200. Κῦρος δὲ συγκαλέσας τοὺς στρατηγοὺς εἶπεν, «Ἀπολελοίπασιν ἡμᾶς Ξενίας καὶ Πασίων. Ἀλλ' εὖ γε μέντοι ἐπιστάσθων [1] ὅτι οὔτε ἀποδεδράκασιν· [2] οἶδα γὰρ ὅπῃ οἴχονται · οὔτε ἀποπεφεύγασιν [2] · ἔχω γὰρ τριήρεις, ὥστε ἑλεῖν [3] τὸ ἐκείνων πλοῖον · ἀλλὰ μὰ τοὺς θεοὺς οὐκ ἔγωγε αὐτοὺς διώξω, οὐδ' ἐρεῖ οὐδεῖς ὡς ἐγώ, ἕως μέν ἂν παρῇ τις [4], χρῶμαι, ἐπειδὰν δὲ ἀπιέναι βούληται, συλλαβὼν καὶ αὐτοὺς κακῶς ποιῶ καὶ τὰ χρήματα ἀποσυλῶ [5].

201. Ἀλλὰ ἰόντων [1], εἰδότες [2] ὅτι κακίους εἰσὶ περὶ ἡμᾶς ἢ ἡμεῖς περὶ ἐκείνους. Καίτοι ἔχω γε αὐτῶν καὶ τέκνα καὶ γυναῖκας ἐν Τράλλεσι [3]

---

[2] φιλοτιμηθέντες, de φιλοτιμέομαι. —εἶα imp. de ἐάω. Constrúyase así: ὅτι Κῦρος εἶα τὸν Κλέαρχον ἔχειν τοὺς στρατιώτας, etc., porque permitía Ciro a Clearco que retuviese sus soldados (los de Jenias y Pasion), que se habían pasado a Clearco. Alude a que antes (capítulo III) Clearco arengó a los soldados que no querían seguir más a Ciro, alabándoles la decisión, por lo cual se pasaron de Jenias y de Pasion a Clearco más de 2.000 soldados. Pero el fin verdadero de Clearco era retenerlos junto a sí y seguir a Ciro.

[3] ὡς δειλοὺς ὄντας, como cobardes que eran.

[4] εἰ ἁλώσοιντο (de ἁλίσκμαι), de que llegasen a ser cogidos, o si llegaban a ser cogidos.

200. [1] εὖ γε μέντοι ἐπιστάσθων, lit. sin embargo, sepan bien (de ἐπίσταμαι).

[2] οὔτε ἀποδεδράκασιν... οὔτε ἀποπεφεύγασιν. El primer verbo se emplea para indicar que uno se *escapa de la vista* de otro (y no se sabe dónde está), y el segundo para expresar que *uno huye* (y no es posible alcanzarle). De ahí las frases que siguen a cada uno de los verbos. ἀποδεδράκασιν de ἀπο-διδράσκω.

[3] ὥστε ἑλεῖν (de αἱρέω), que alcancen. (Es una oración consecutiva).

[4] ἕως... ἄν παρῇ τις, mientras que alguno está junto a mí.—χρῶμαι, súplase τούτῳ.

[5] καὶ αὐτοὺς κακῶς ποιῶ καὶ τὰ χρήματα ἀποσυλῶ, los trató mal y les quitó sus bienes. Adviértase que ha cambiado de número respecto a la frase anterior; esta libertad gramatical es frecuente después del pronombre.

201. [1] ἰόντων, imperat. de εἶμι, ir.

[2] εἰδότες (de οἶδα), lit. *scientes*. —κακίους es nominativo.

[3] ἐν Τράλλεσι, Trales era una ciudad de Caria a orillas del Meandro, cerca de Éfeso.

φρουρούμενα · ἀλλ' οὐδὲ τούτων στερήσονται [4] ἀλλ' ἀπολήψονται τῆς πρόσθεν ἕνεκα περὶ ἐμὲ ἀρετῆς» [5]. Καὶ ὁ μὲν ταῦτα εἶπεν, οἱ δὲ Ἕλληνες, εἴ τις καὶ ἀθυμότερος [6] ἦν πρὸς τὴν ἀνάβασιν, ἀκούοντες τὴν Κύρου ἀρετὴν ἥδιον καὶ προθυμότερον [7] συνεπορεύοντο.

Marcha hasta Tapsaco

(12 a 28 de julio)

202. Μετὰ ταῦτα Κῦρος ἐξελαύνει σταθμοὺς τέτταρας, παρασάγγας εἴκοσιν ἐπὶ τὸν Χάλον [1] ποταμόν, ὄντα τὸ εὖρος πλέθρου, πλήρη δ' ἰχθύων μεγάλων καὶ πραέων [2], οὓς οἱ Σύροι θεοὺς ἐνόμιζον καὶ ἀδικεῖν οὐκ εἴων [3], οὐδὲ τὰς περιστεράς. Αἱ δὲ κῶμαι, ἐν αἷς ἐσκήνουν, Παρυσάτιδος ἦσαν, εἰς ζώνην [4] δεδομέναι. Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς πέντε, παρασάγγας τριάκοντα ἐπὶ τὰς πηγὰς τοῦ Δάρδατος [5] ποταμοῦ, οὗ τὸ εὖρος πλέθρου [6].

203. Ἐνταῦθα ἦσαν τὰ Βελέσυος βασίλεια, τοῦ Συρίας ἄρξαντος [1], καὶ παράδεισος πάνυ μέγας καὶ καλός, ἔχων πάντα, ὅσα ὧραι φύουσι. Κῦρος δ' αὐτὸν ἐξέκοψε καὶ τὰ βασίλεια κατέκαυσεν [2]. Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς τρεῖς, παρασάγγας πεντεκαίδεκα ἐπὶ τὸν Εὐφράτην ποταμόν, ὄντα τὸ εὖρος τεττάρων σταδίων· [3] καὶ πόλις αὐτόθι ᾠκεῖτο [4] μεγάλη καὶ εὐδαίμων, Θάψακος ὄνομα. Ἐνταῦθα ἔμεινεν ἡμέρας πέντε.

---

4 στερήσονται, se privarán (futuro medio).

5 τῆς πρόσθεν ἕνεκα περὶ ἐμὲ ἀρετῆς, lit. por su valor de antes (cuando estaban) junto a mí.

6 ἀθυμότερος (de ἄθυμος), desanimado. — ἀρετήν aquí tiene sentido de magnanimidad, generosidad.

7 ἥδιον καὶ προθυμότερον, comp. adverbiales.

202. 1 Χάλος, Calo, río de Siria (hoy el Koveik), que riega la ciudad de Alepo.

2 πραέων de πρᾶος, manso, domesticado. Estos peces estaban consagrados a la diosa Darketo o Astarde, que había tomado esta forma; su hija Semíramis se transformó en paloma.

3 εἴων imperfecto de ἐάω.

4 εἰς ζώνην δεδομέναι. Los reyes persas asignaban a sus mujeres los impuestos de ciertas ciudades, diciendo que eran para diferentes partes de su vestido.

Δάρδατος. Dardas es probablemente el Nahr-el-Dhahab, riachuelo que se pierde en las arenas del desierto.

6 τὸ εὖρος (ἦν) πλέθρου lit. cuya anchura era de un pletro.

203. 1 τοῦ... ἄρξαντος, que había gobernado la Siria (como sátrapa, hasta la llegada de Ciro).

2 ἐξέκοψε... κατέκαυσεν, hizo talar (el parque) y quemar el palacio. (Belesis se había puesto, sin duda, de parte del Rey).

3 τεττάρων σταδίων, de cuatro estadios. El estadio equivalía a 184 metros. Nótese la diferencia gramatical entre esta construcción y la usada unas líneas antes al hablar del río Dardas.

4 ᾠκεῖτο, lit. *sita erat*; es decir: se levantaba. La ciudad es Tapsaco (Taphsa, en el Antiguo Testamento), gran centro comercial a la orilla derecha del Éufrates. Hoy no quedan más que ruinas, cerca de la actual ciudad de Rakka.

Ciro comunica a los griegos el verdadero fin de la expedición

204. Καὶ Κῦρος μεταπεμψάμενος τοὺς στρατηγοὺς τῶν Ἑλλήνων ἔλεγεν ὅτι ἡ ὁδὸς ἔσοιτο [1] πρὸς βασιλέα μέγαν εἰς Βαβυλῶνα [2] · καὶ κελεύει αὐτοὺς λέγειν ταῦτα τοῖς στρατιώταις καὶ ἀναπείθειν ἕπεσθαι. Οἱ δὲ ποιήσαντες ἐκκλησίαν ἀπήγγελλον ταῦτα · οἱ δὲ στρατιῶται ἐχαλέπαινον τοῖς στρατηγοῖς, καὶ ἔφασαν αὐτοὺς πάλαι ταῦτ' εἰδότας [3] κρύπτειν [4], καὶ οὐκ ἔφασαν ἰέναι [5], ἐὰν μή τις [6] αὐτοῖς χρήματα διδῷ, ὥσπερ τοῖς προτέροις μετὰ Κύρου ἀναβᾶσι [7], καὶ ταῦτα [8] οὐκ ἐπὶ μάχην ἰόντων, ἀλλὰ καλοῦντος τοῦ πατρὸς [9] Κῦρον.

Saetero a caballo (ἱπποξότης)

205. Ταῦτα οἱ στρατηγοὶ Κύρῳ ἀπήγγελλον · ὁ δ' ὑπέσχετο ἀνδρὶ ἑκάστῳ δώσειν πέντε ἀργυρίου μνᾶς [1] ἐπὰν [2] εἰς βαβυλῶνα ἥκωσι, καὶ τὸν μισθὸν ἐντελῆ, μέχρι ἂν καταστήσῃ [3] τοὺς Ἕλληνας εἰς Ἰωνίαν πάλιν. Τὸ μὲν δὴ πολὺ [4] τοῦ Ἑλληνικοῦ οὕτως ἐπείσθη.

---

204. [1] ὅτι ἡ ὁδὸς ἔσοιτο, lit. que la expedición sería... Obsérvese que está en optativo por hallarse la frase en estilo indirecto; de lo contrario, diría ἔσται.

[2] εἰς Βαβυλῶνα, Babilonia, a orillas del Éufrates, muy célebre en la antigüedad, era una de las capitales del Imperio persa.

[3] εἰδότας, de οἶδα. Esto probablemente era cierto.

[4] κρύπτειν= ὅτι ἔκρυπτον, lo habían ocultado.

[5] οὐκ ἔφασαν ἰέναι, y decían que no irían. —οὐ φημὶ, digo que no (lat. *nego*).

[6] τις, alguien; es decir: si no se les daba... Obsérvese este eufemismo, que es el mismo que usamos en castellano para no nombrar a una persona.

[7] τοῖς... ἀναβᾶσι, lit. a los que habían subido. Se refiere a los 300 hoplitas de que se habla al principio. — ἀναβᾶσι, dat. plur. del partic. de aor. 2.° de ἀναβαίνω.

[8] καὶ ταῦτα, lit. y eso que... (seguido de un genit. abs.).

[9] καλοῦντος τοῦ πατρὸς, genit. abs. también.

205. [1] ὑπ-έσχετο de ὑπ-ισχνέομαι, prometer. —μνᾶς, minas. La mina valía cien dracmas y la dracma equivale casi a una peseta.

[2] ἐπὰν — ἐπεὶ ἄν, una vez que... (construcción indefinida).

[3] μέχρι ἂν καταστήσῃ *usque dum reduceret*. Es transitivo.

[4] τὸ μὲν δὴ πολύ. La mayoría del ejército griego, de esta manera (con estas promesas) quedó convencido. Como se ve, los soldados de Ciro son realmente soldados asalariados.

Capítulo VIII (1-29)

LA BATALLA DE CUNAXA

(5 de septiembre?)

Se anuncia que el Rey y su ejército están ya cerca

206. Καὶ ἤδη τε ἦν ἀμφὶ ἀγορὰν πλήθουσαν [1] καὶ πλησίον ἦν ὁ σταθμός [2], ἔνθα ἔμελλε καταλύειν [3], ἡνίκα Πατηγύας, ἀνὴρ Πέρσης τῶν ἀμφὶ Κῦρον πιστῶν [4], προφαίνεται [5] ἐλαύνων ἀνὰ κράτος [6] ἱδροῦντι τῷ ἵππῳ [7], καὶ εὐθὺς πᾶσιν οἷς ἐνετύγχανεν ἐβόα, καὶ βαρβαρικῶς καὶ ἑλληνικῶς [8], ὅτι βασιλεὺς σὺν στρατεύματι πολλῷ προσέρχεται [9] ὡς εἰς μάχην παρεσκευασμένος.

Mercado

207. Ἔνθα [1] δὴ πολὺς τάραχος ἐγένετο· αὐτίκα [2] γὰρ ἐδόκουν οἱ Ἕλληνες καὶ πάντες [3] δὲ ἀτάκτοις σφίσιν [4] ἐπιπεσεῖσθαι· Κῦρός τε καταπηδήσας ἀπὸ τοῦ ἅρματος τὸν θώρακα ἐνεδύετο καὶ ἀναβὰς ἐπὶ τὸν ἵππον τὰ παλτὰ εἰς τὰς χεῖρας ἔλαβε, τοῖς τε ἄλλοις

---

206. [1] ἦν ἀμφὶ ἀγορὰν πλήθουσαν, lit. era alrededor de (a eso de) el mercado lleno de gente; i. e., a la hora en que el mercado se llena de gente (o sea, entre las diez y las doce del día). Muchos comentadores fijan la fecha de la batalla en el 3 de septiembre del 401; otros el 5. No parece que pueda determinarse tanto; únicamente podemos afirmar que desde la salida de Sardes han pasado ya ciento ochenta días (ochenta y cutro de marcha y noventa y seis de descanso).

[2] σταθμός, *statio*, lugar donde se hace alto. Éste es el sentido más propio de esta palabra.

[3] ἔνθα ἔμελλε (suj. ὁ Κῦρος) καταλύειν, donde iba a dar suelta (i. e., hacer alto).

[4] τῶν πιστῶν, gent. partit.

[5] προφαίνεται, aparece a lo lejos.

[6] ἀνὰ κράτος (=κατὰ κράτος) frase adverb., con todas sus fuerzas; i. e., a rienda suelta.

[7] ἱδροῦντι τῷ ἵππῳ, dat. instrumental.

[8] καὶ βαρβαρικῶς καὶ ἑλληνικῶς, ya en bárbaro (i. e., en lengua persa), ya en griego.

[9] προσέρχεται, que... se acercaba... Gr. n.° 297.

207. [1] ἔνθα, allí, entonces.

[2] αὐτίκα, en seguida. Se refiere a ἐπιπεσεῖσθαι, cuyo sujeto debe entenderse que es βασιλέα.

[3] καὶ πάντες, y todos (i. e., también los persas).

[4] σφίσιν, reflexivo *(sibi)*, depende de ἐπιπεσεῖσθαι, caer sobre (ἐπί, sobre).

παρήγγελλεν ἐξοπλίζεσθαι καὶ καθίστασθαι εἰς τὴν ἑαυτοῦ τάξιν ἕκαστον [5].

Orden de batalla del ejército de Ciro

208. Ἔνθα δὴ σὺν πολλῇ σπουδῇ καθίσταντο, Κλέαρχος μὲν τὰ δεξιὰ τοῦ κέρατος [1] ἔχων πρὸς [2] τῷ Εὐφράτῃ ποταμῷ, Πρόξενος δὲ ἐχόμενος [3], οἱ δὲ ἄλλοι μετὰ τοῦτον, Μένων δὲ τὸ στρατεύματος εὐώνυμον κέρας ἔσχε [4] τοῦ Ἑλληνικοῦ.

209. Τοῦ δὲ βαρβαρικοῦ ἱππεῖς μὲν Παφλαγόνες [1] εἰς χιλίους παρὰ Κλέαρχον ἔστησαν ἐν τῷ δεξιῷ καὶ τὸ Ἑλληνικὸν πελταστικόν, ἐν δὲ



Batalla de Cunaxa

---

[5] ἕκαστον es el sujeto de καθίστασθα ιy de ἐξοπλίζεσθαι.

208. [1] τὰ δεξιὰ τοῦ κέρατος, el ala derecha. Adviértase que esta forma (en plural) es una expresión poética, la cual es bastante frecuente en Jenofonte.

[2] πρός, con dativo: junto a..

[3] ἐχόμενος, *proximus*.—ἔχομαι (con genitivo) significa atenerse a... estar junto a...

[4] ἔσχε, lit. tuvo; es decir: ocupó.

209. [1] ἱππεῖς Παφλαγόνες. Estos jinetes paflagones fueron célebres en la antigüedad. Paflagonia era una provincia de la costa del Mar Negro donde está la actual ciudad de Sinope. —εἰς χιλίους, alrededor de mil.

τῷ εὐωνύμῳ Ἀριαῖός τε, ὁ Κύρου ὕπαρχος [2], καὶ τὸ ἄλλο βαρβαρικόν· Κῦρος δὲ καὶ οἱ ἱππεῖς [3] τούτου ὅσον ἑξακόσιοι [4] κατὰ τὸ μέσον, ὡπλισμένοι θώραξι μὲν αὐτοὶ [5] καὶ παραμηριδίοις καὶ κράνεσι πάντες πλὴν Κύρου · Κῦρος δὲ ψιλὴν [6] ἔχων τὴν κεφαλὴν εἰς τὴν μάχην καθίστατο. Οἱ δ' ἵπποι πάντες εἶχον καὶ προμετωπίδια [7] καὶ προστερνίδια· εἶχον δὲ καὶ μαχαίρας οἱ ἱππεῖς Ἑλληνικάς [8].

El enemigo aparece en orden de batalla

210. Καὶ ἤδη τε ἦν μέσον ἡμέρας [1] καὶ οὔπω καταφανεῖς ἦσαν οἱ πολέμιοι. ἡνίκα δὲ δείλη ἐγίγνετο, ἐφάνη κονιορτός [2], ὥσπερ νεφέλη λευκή, χρόνῳ δὲ συχνῷ ὕστερον [3] ὥσπερ μελανία τις ἐν τῷ πεδίῳ ἐπὶ πολύ [4]. Ὅτε δὲ ἐγγύτερον ἐγίγνοντο [5], τάχα δὴ καὶ χαλκός τις ἤστραπτε [6] καὶ λόγχαι, καὶ αἱ τάξεις [7] καταφανεῖς ἐγίγνοντο.

211. Καὶ ἦσαν ἱππεῖς μὲν λευκοθώρακες [1] ἐπὶ τοῦ εὐωνύμου τῶν πολεμίων· Τισσαφέρνης ἐλέγετο τούτων ἄρχειν, ἐχόμενοι δὲ γερροφόροι [2], ἐχόμενοι δὲ ὁπλῖται σὺν ποδήρεσι ξυλίναις ἀσπίσιν. Αἰγύπτιοι [3]

---

2 ὕπαρχος, subordinado, lugarteniente.

3 Κῦρος καὶ οἱ ἱππεῖς, súplase καθίσταντο.

4 ὅσος ἑξακόσιοι, como seiscientos.

5 αὐτοὶ, *ipsi*. Se opone, sin duda a οἱδ' ἵπποι.

6 ψιλὴν, entiéndase sin casco, no descubierta por completo, pues los orientales no la llevan jamás de esta forma. Ciro llevaba probablemente la tiara, lo cual le impedía usar el casco.

7 προ-μετωπίδιον y προ-στερνίδιον, piezas de armadura que se colocaban en la frente y en el pecho de los caballos; puede usarse, aunque no equivalgan por completo, las castellanas «testera» y «peto».

8 μάχαιρα ἑλληνική. Era una espada pequeña, especie de sable, con la hoja algo encorvada y de un solo corte.

210. 1 μέσον ἡμέρας, mediodía.— δείλη, la tarde, y aquí: la primera parte de la tarde.

2 κονιορτός, polvareda (de κόνις, polvo, y ὄρνυμι, levantar).

3 χρόνῳ συχνῷ ὕστερον, lit. mucho tiempo después.

4 ἐπὶ πολύ, lit. sobre mucho, i. e., en una gran extensión.

5 ἐγίγνοντο, el sujeto es οἱ πολέμιοι.

6 χαλκός τις ἤστραπτε, empezó a brillar el bronce (de los cascos) y las puntas de las lanzas (λόγχη, *lancea*).

7 τάξεις, filas, i. e., los diversos Cuerpos del ejército.

211. 1 λευκο-θώρακες, de corazas blancas (hechas quizá de lino).

2 γερρο-φόροι. Los que llevaban γέρρον, pequeño escudo rectangular tejido de mimbres y cubierto de cuero. Éstos eran, sin duda, la infantería ligera. Los hoplitas o infantería pesada eran los que llevaban un escudo grande de madera que les llegaba hasta los pies.

3 Αἰγύπτιοι. Esto no quiere decir que el Egipto dependiera en este tiempo del Imperio Persa. Serían probablemente descendientes de algunas colonias de egipcios establecidas en varios sitios del Imperio.

δ' οὗτοι ἐλέγοντο εἶναι· ἄλλοι [4] δ' ἱππεῖς, ἄλλοι τοξόται. Πάντες δ' οὗτοι κατὰ ἔθνη [5] ἐν πλαισίῳ πλήρει ἀνθρώπων [6] ἐπορεύοντο.

212. Πρὸ δὲ αὐτῶν [1] ἅρματα διαλείποντα συχνὸν ἀπ' ἀλλήλων [2], τὰ δὴ δρεπανηφόρα καλούμενα· εἶχον δὲ τὰ δρέπανα ἐκ τῶν ἀξόνων [3] εἰς πλάγιον ἀποτεταμένα [4] καὶ ὑπὸ τοῖς δίφροις εἰς γῆν βλέποντα, ὡς διακόπτειν ὅτῳ ἐντυγχάνοιεν [5]. Ἡ δὲ γνώμη ἦν ὡς [6] εἰς τὰς τάξεις τῶν Ἑλλήνων ἐλῶντα καὶ διακόψοντα [7]. Ὁ μέντοι Κῦρος [8] εἶπεν, ὅτε καλέσας παρεκελεύετο τοῖς Ἕλλησι τὴν κραυγὴν τῶν βαρβάρων ἀνέχεσθαι, ἐψεύσθη τοῦτο· [9] οὐ γὰρ κραυγῇ, ἀλλὰ σιγῇ ὡς ἀνυστὸν [10] καὶ ἡσυχῇ ἐν ἴσῳ [11] καὶ βραδέως προσῇσαν.

Clearco se niega a atacar el centro de los Persas

213. Καὶ ἐν τούτῳ Κῦρος παρελαύνων αὐτὸς σὺν Πίγρητι τῷ ἑρμηνεῖ καὶ ἄλλοις τρισὶν ἢ τέτταρσι τῷ Κλεάρχῳ ἐβόα ἄγειν [1] τὸ στράτευμα κατὰ μέσον τὸ τῶν πολεμίων, ὅτι ἐκεῖ βασιλεὺς εἴη· [2] «κἂν [3] τοῦτ', ἔφη, νικῶμεν, πάνθ' ἡμῖν πεποίηται» [4]. Ὁρῶν δὲ ὁ Κλέαρχος τὸ μέσον στῖ-

---

4 ἄλλοι..., otros eran...; i. e., además había soldados de caballería y arqueros.

5 κατὰ ἔθνη, por naciones. El ejército de Artajerjes es un agregado de diversos pueblos formados separadamente. Por lo demás, también en el ejército de Ciro los griegos y los persas iban separados.

6 ἐν πλαισίῳ πλήρει ἀνθρώπων, lit. en cuadro lleno de hombres, i. e., en cuadros compactos (sin dejar hueco alguno en el centro).

212. 1 πρὸ δὲ αὐτῶν, (ἐπορεύετο): delante de ellos marchaban.

2 διαλείποντα συχνὸν ἀπ' ἀλλήλων, que distaban mucho unos de otros.

3 ἐκ τῶν ἀξόνων, lit. de los ejes (i. e. de los cubos o extremos de los ejes). εἰς πλάγιον, oblicuamente.

4 ἀποτεταμένα, de ἀποτείνω.—ὡς = ὥστε. (consecutiva).

5 ὅτῳ ἐντυγχάνοιεν, cuanto encontrasen (indefinida). Gr. n.° 338.

6 ἡ δὲ γνώμη ἦν ὡς... y la intención era de...

7 ὡς εἰς τὰς τάξεις τῶν Ἑλλήνων ἐλῶντα καὶ διακόψοντα, que marchasen contra las filas de los griegos y las desbaratasen. Partic. de fut. (en acusat. absol.) con sentido final; debe entenderse ἅρματα.—ἐλῶντα, de ἐλαύνω.

8 ὁ μέντοι Κῦρος εἶπεν, lit. mas en lo que Ciro dijo...

9 ἐψεύσθη τοῦτο, se engañó (Ciro) en eso. El sujeto, Ciro debe suplirse.—τοῦτο es acusativo adverbial o de parte. Gr. n.° 346.

10 ὡς ἀνιστὸν = ὡς δυνατόν (ἦν), cuanto era posible.

11 ἐν ἴσῳ, lit. *in aequo cursu*, i. e., a paso igual, en buena formación.—σιγῇ y ἡσυθῇ, dat. de modo. Gr. n.° 267.

213. 1 τῷ Κλεάρχῳ ἐβόα ἄγειν, gritaba a Clearco que condujera...—κατὰ con ac. contra.

2 ὅτι ἐκεῖ... εἴη, porque allí... estaba. Orac. causal que está en optativo por ser subdependiente.

3 κἂν = καὶ ἐὰν. pues si.

4 ἡμῖν (=ὑφ' ἡμῶν) πεποίηται, lit. todo está para (por) nosotros, i. e., hemos terminado la batalla. Gr. n.° 227.

φος [5] καὶ ἀκούων Κύρου [6] ἔξω ὄντα τοῦ εὐωνύμου βασιλέα (τοσοῦτον [7] γὰρ πλήθει περιῆν βασιλεύς, ὥστε μέσον τῶν ἑαυτοῦ ἔχων τοῦ Κύρου εὐωνύμου ἔξω [8] ἦν) ἀλλ' ὅμως ὁ Κλέαρχος οὐκ ἤθελεν ἀποσπάσαι ἀπὸ τοῦ ποταμοῦ τὸ δεξιὸν κέρας, φοβούμενος μὴ κυκλωθείη ἑκατέρωθεν, τῷ δὲ Κύρῳ ἀπεκρίνατο ὅτι αὐτῷ μέλει ὅπως καλῶς ἔχοι [9].

Los últimos preparativos

214. Καὶ ἐν τούτῳ τῷ καιρῷ τὸ μὲν βαρβαρικὸν στράτευμα ὁμαλῶς [1] προῄει, τὸ δὲ Ἑλληνικὸν ἔτι ἐν τῷ αὐτῷ μένον [2] συνετάττετο ἐκ τῶν ἔτι προσιόντων [3]. Καὶ ὁ Κῦρος παρελαύνων οὐ πάνυ πρὸς αὐτῷ τῷ στρατεύματι [4] κατεθεᾶτο [5] ἑκατέρωσε [6] ἀποβλέπων εἴς τε τοὺς πολεμίους καὶ τοὺς φίλους. Ἰδὼν δὲ αὐτὸν ἀπὸ τοῦ Ἑλληνικοῦ [7] Ξενοφῶν Ἀθηναῖος [8], πελάσας ὡς [9] συναντῆσαι, ἤρετο εἴ τι παραγγέλλοι· ὁ δ' ἐπιστήσας [10] εἶπε καὶ λέγειν ἐκέλευε πᾶσιν, ὅτι καὶ τὰ ἱερὰ [11] καλὰ καὶ τὰ σφάγια καλά.

215. Ταῦτα δὲ λέγων θορύβου ἤκουσε διὰ τῶν τάξεων ἰόντος [1], καὶ ἤρετο τίς ὁ θόρυβος εἴη. Ὁ δὲ εἶπεν [2] ὅτι «σύνθημα [3] παρέρχεται δεύτερον ἤδη». Καὶ ὃς [4] ἐθαύμασε τίς [5] παραγγέλλει, καὶ ἤρετο ὅ τι εἴη

---

[5] τὸ μέσον στῖφος, el centro del ejército. — στῖφος significa lit. masa compacta (de hombres).

[6] Κύρου depende de ἀκούων, genit. de pers.: a Ciro. Gr. n.° 252.

[7] τοσοῦτον, ac. adverbial. — πλήθει, dat. equiv. al abl. de exceso en latín. — περιῆν, lit. sobresalía.

[8] τοῦ Κύρου εὐωνύμου ἔξω ἦν. Ordénese: ἦν ἔξω τοῦ Κύρου εὐωνύμου. El partic. ἔχων que precede tiene sentido concesivo.

[9] ἔχοι. La respuesta en estilo directo sería así: ἐμοὶ μέλει ὅπως καλῶς ἔχῃ πάντα, a mí me toca (yo me encargo de) que todo vaya bien. Al pasar a estilo indirecto μέλει, no ha cambiado de modo; pero ἔχῃ sí.

214. [1] ὁμαλῶς, regularmente.

[2] ἐν τῷ αὐτῷ μένον, permaneciendo en el mismo sitio.

[3] ἐκ τῶν ἔτι προσιόντων, de los que aún iban viniendo.

[4] οὐ πάνυ πρὸς αὐτῷ τῷ στρατεύματι, lit. no muy cerca del mismo *(ipse)* ejército, i. e., a alguna distancia.

[5] κατεθεᾶτο, observar, desde arriba, o atentamente.

[6] ἑκατέρωσε, a ambas partes: queda explicada la idea con εἴς τε τοὺς πολεμίους καὶ... Depende de ἀποβλέπειν.

[7] ἀπὸ τοῦ Ἑλληνικοῦ se refiere a ἰδὼν.

[8] Ξενοφῶν Ἀθηναῖος. Es la primera vez que Jenofonte aparece en escena.

[9] ὡς consecutivo

[10] ἐπιστήσας, supl. τὸν ἵππον.

[11] ἱερὰ, lit. sacrificios. — σφάγια víctimas. — καλός, favorable.

215. [1] θορύβου... ἰόντος, un murmullo que (iba) pasaba... Depende de ἤκουσε.

[2] ὁ δὲ εἶπεν, Jenofonte.

[3] σύνθημα (συντίθημι), contraseña. Palabra o señal convenida que sirve para distinguir durante la batalla al amigo del enemigo. Pasaba de boca en boca hasta el último soldado, y debía volver al jefe que la había dado (παρέρχεται δεύτερον ἤδη).

[4] καὶ ὃς = y él. El pronombre relativo ha sido usado como demostrativo; en prosa ática no sucede eso, sino en esta frase y otra análoga (ἦ δ' ὅς, dijo él).

[5] ἐθαύμασε τίς..., se maravilló de quién la daba, i. e., preguntó quién la había dado.

τὸ σύνθημα. Ὁ δ' ἀπεκρίνατο· [6] «Ζεὺς σωτὴρ καὶ Νίκη.» Ὁ δὲ Κῦρος ἀκούσας· «Ἀλλὰ δέχομαί [7] τε, ἔφη, καὶ τοῦτο ἔστω» [8].

Ataque de los Griegos. Derrota del ala izquierda persa

216. Ταῦτα δ' εἰπὼν εἰς τὴν αὑτοῦ [1] χώραν ἀπήλαυνεν. Καὶ οὐκέτι τρία ἢ τέτταρα στάδια [2] διειχέτην τὼ φάλαγγε ἀπ' ἀλλήλων [3], ἡνίκα ἐπαιάνιζόν [4] τε οἱ Ἕλληνες καὶ ἤρχοντο ἀντίοι ἰέναι τοῖς πολεμίοις. Ὡς δὲ πορευομένων [5] ἐξεκύμαινέ τι τῆς φάλαγγος [6], τὸ ὑπολειπόμενον ἤρξατο δρόμῳ θεῖν· καὶ ἅμα ἐφθέγξαντο πάντες, οἷον [7] τῷ Ἐνυαλίῳ ἐλελίζουσι, καὶ πάντες δὲ ἔθεον.

Saetero fenicio

217. Λέγουσι δέ ὥς, [1] τινες καὶ ταῖς ἀσπίσι πρὸς τὰ δόρατα ἐδού-πησαν, φόβον ποιοῦντες τοῖς ἵπποις. Πρὶν δὲ τόξευμα ἐξικνεῖσθαι [2], ἐκκλίνουσιν οἱ βάρβαροι καὶ φεύγουσι. Καὶ ἐνταῦθα δὴ ἐδίωκον μὲν κατὰ κράτος [3] οἱ Ἕλληνες, ἐβόων δὲ ἀλλήλοις μὴ θεῖν δρόμῳ [4], ἀλλ' ἐν τῇ τάξει ἕπεσθαι. Τὰ δ' ἅρματα ἐφέροντο [5], τὰ μὲν δι' αὐτῶν τῶν πολεμίων [6], τὰ δὲ καὶ διὰ τῶν Ἑλλήνων, κενὰ ἡνιόχων.

218. Οἱ δ' [1], ἐπεὶ προΐδοιεν, διίσταντο· ἔστι δ' ὅστις [2] καὶ κατελήφθη, ὥσπερ ἐν ἱπποδρόμῳ

---

[6] ὁ δ' ἀπεκρίνατο, Jenofonte.

[7] ἀλλὰ δέχομαι, pues bien, la acepto.

[8] καὶ τοῦτο ἔστω, y sea así. Se refiere a las palabras de la contraseña: salvación y victoria.

216. [1] αὑτοῦ = ἑαυτοῦ. Nótese el espíritu.

[2] στάδια, acusativo de distancia:

[3] διειχέτην τὼ φάλαγγε ἀπ' ἀλλήλων, distaban los dos ejércitos entre sí.—διειχέτην, dual de imperf.

[4] ἐπαιάνιζον, comenzaron a cantar el peán. Era éste originariamente un himno en honor de Apolo, que llegó a ser canto de guerra de los griegos.

[5] πορευομένων, súplase αὐτῶν, genit. abs. La partícula ὡς (temporal) debe unirse a ἐξεκύμαινε.

[6] ἐξεκύμαινέ τι τῆς φάλαγγος, cuando... parte de la falange comenzó a desbordarse... (i. e., a avanzar en forma de ola, perdiendo la formación).

[7] οἷον, forma adverbial; como cuando vitorean a Enyalio (sobrenombre de Marte, dios de la guerra).

217. [1] ὥς = ὅτι, que.— ἐδούπησαν (de δουπέω), golpear.

[2] πρὶν δὲ... ἐξικνεῖσθαι, antes de que les llegase un dardo (i. e., antes de que llegasen a tiro de arco). Gr. n.° . 333

[3] κατὰ κράτος = ἀνὰ κράτος.

[4] μὴ θεῖν δρόμῳ, que no corriesen a la carrera. Usa μή (y no οὐ) por ser un mandato indirecto.

[5] τὰ δ' ἅρματα ἐφέροντο. El verbo está en plural, a pesar de ser neutro el sujeto, construcción frecuente cuando se trata de un todo compuesto de diversas partes; aquí hay dos categorías o clases de carros: τὰ μὲν... τὰ δὲ.

[6] δι' αὐτῶν τῶν πολεμίων, a través de los mismos enemigos.

218. [1] οἱ δὲ = οἱ Ἕλληνες.

[2] ἔστι δ' ὅστις = ἦν δέ τις ὅς, hubo alguno que...

ἐκπλαγείς· [3] καὶ οὐδὲν μέντοι οὐδὲ τοῦτον [4] παθεῖν ἔφασαν, ἄλλος δὲ [5] τῶν Ἑλλήνων ἐν ταύτῃ τῇ μάχῃ ἔπαθεν οὐδεὶς οὐδέν, πλὴν [6] ἐπὶ τῷ εὐωνύμῳ τοξευθῆναί τις ἐλέγετο.

La batalla en el centro

219. Κῦρος δ', ὁρῶν τοὺς Ἕλληνας νικῶντας τὸ καθ' αὑτοὺς [1] καὶ διώκοντας, ἡδόμενος καὶ προσκυνούμενος ἤδη ὡς βασιλεὺς ὑπὸ τῶν ἀμφ' αὐτόν, οὐδ' ὡς [2] ἐξήχθη διώκειν, ἀλλὰ συνεσπειραμένην ἔχων τὴν τῶν σὺν ἑαυτῷ ἑξακοσίων ἱππέων τάξιν, ἐπεμελεῖτο ὅ τι ποιήσει βασιλεύς [3]. Καὶ γὰρ ἤδει αὐτὸν [4] ὅτι μέσος ἔχοι τοῦ Περσικοῦ στρατεύματος.

220. Καὶ πάντες δ' οἱ τῶν βαρβάρων ἄρχοντες μέσος ἔχοντες τὸ αὑτῶν ἡγοῦνται [1], νομίζοντες οὕτω καὶ ἐν ἀσφαλεστάτῳ εἶναι, ἢν [2] ᾖ ἡ ἰσχὺς αὐτῶν ἑκατέρωθεν, καὶ εἴ τι παραγγεῖλαι χρῄζοιεν, ἡμίσει ἂν χρόνῳ [3] αἰσθάνεσθαι [4] τὸ στράτευμα. Καὶ βασιλεὺς δὴ τότε, μέσον ἔχων [5] τῆς αὑτοῦ στρατιᾶς, ὅμως ἔξω ἐγένετο τοῦ Κύρου εὐωνύμου κέρατος. Ἐπεὶ δ' οὐδεὶς αὐτῷ ἐμάχετο ἐκ τοῦ ἀντίου [6] οὐδὲ τοῖς αὐτοῦ [7] τεταγμένοις ἔμπροσθεν, ἐπέκαμπτεν ὡς εἰς κύκλωσιν [8].

Guerrero con collar

221. Ἔνθα δὴ Κῦρος, δείσας μὴ ὄπισθεν γενόμενος [1] κατακόψῃ τὸ Ἑλληνικόν,

---

3 ἐκπλαγείς (de ἐκπλήττω), *perculsus (stupore)*.

4 οὐδὲ τοῦτον, ni éste. Ordénese así: καὶ μέντοι οὐδ' ἔφασαν (dijeron que ni) τοῦτον παθεῖν οὐδέν. Adviértase que las negaciones no se destruyen.

5 οὐδ' ἄλλος δὲ, tradúzcase a la letra y resultará una frase correcta.

6 πλήν (excepto), solamente...

219. 1 τὸ κάθ' αὑτούς, en lo tocante a ellos.

2 οὐδ' ὡς, ni siquiera así.— ἐξήχθη (ἐξάγω), se dejó llevar a...— συν-εσπεραμένην de συ-σπειράω.

3 ἐπεμελεῖτο ὅ τι ποιήσει βασιλεύς, se preocupaba qué haría el Rey.

4 ἤδει αὐτὸν=ἤδει ὅτι αὐτὸς ἔχοι. El sujeto del verbo subordinado pasó a ser complemento del principal. Gr. n.° 301.—ἤδει de οἶδα.

220. 1 ἡγοῦνται, conducen. — ἐν ἀσφαλεστάτῳ, en lo más seguro.

2 ἢν = ἐάν, si.—ᾖ, subj. de εἰμί.

3 ἡμίσει χρόνῳ = ἐν ἡμίσει χρόνῳ, en la mitad del tiempo.

ἂν αἰσθάνεσθαι, inf. potencial, depende de νομίζοντες. Piensan... y que (si necesitan mandar algo) el ejército podrá enterarse...

5 ἔχων; el partic. tiene aquí valor de orac. conces. Gr. n.° 345.

6 ἐκ τοῦ ἀντίου (στρατεύματος), del ejército contrario.

7 αὐτοῦ depende de ἔμπροσθεν.

8 ἐπέκαμπτεν ὡς εἰς κύκλωσιν, comenzó a doblarse como para un copo, i. e., comenzó a efectuar un movimiento envolvente.

221. 1 ὄπισθεν γενόμενος, supl. βασιλεύς, poniéndose por detrás.

ἐλαύνει ἀντίος· καὶ ἐμβαλὼν σὺν τοῖς ἑξακοσίοις νικᾷ τοὺς πρὸ βασιλέως τεταγμένους καὶ εἰς φυγὴν ἔτρεψε τοὺς ἑξακισχιλίους, καὶ ἀποκτεῖναι λέγεται αὐτὸς τῇ ἑαυτοῦ χειρὶ Ἀρταγέρσην, τὸν ἄρχοντα αὐτῶν. Ὡς δ' ἡ τροπὴ ἐγένετο, διασπείρονται καὶ οἱ Κῦρου ἑξακόσιοι εἰς τὸ διώκειν ὁρμήσαντες, πλὴν πάνυ ὀλίγοι ἀμφ' αὐτὸν κατελείφθησαν, σχεδὸν οἱ ὁμοτράπεζοι καλούμενοι.

Ciro muere en la pelea

222. Σὺν τούτοις δὲ ὢν, καθορᾷ βασιλέα καὶ τὸ ἀμφ' ἐκεῖνον στῖφος· καὶ εὐθὺς οὐκ ἠνέσχετο [1], ἀλλ' εἰπὼν «Τὸν ἄνδρα ὁρῶ» ἴετο [2] ἐπ' αὐτὸν καὶ παίει κατὰ τὸ στέρνον καὶ τιτρώσκει διὰ τοῦ θώρακος, ὥς φησι Κτησίας [3] ὁ ἰατρός, καὶ ἰάσασθαι αὐτὸς τὸ τραῦμά φησι.

Espada (ἀκινάκης)

223. Παίοντα δ' αὐτὸν [1] ἀκοντίζει τις παλτῷ ὑπὸ τὸν ὀφθαλμὸν βιαίως· καὶ ἐνταῦθα μαχόμενοι [2] καὶ βασιλεὺς καὶ Κῦρος καὶ οἱ ἀμφ' αὐτοὺς ὑπὲρ ἑκατέρου, ὁπόσοι [3] μὲν τῶν ἀμφὶ βασιλέα ἀπέθνῃσκον, Κτησίας λέγει· παρ' ἐκείνῳ γὰρ ἦν· Κῦρος δὲ αὐτός τε ἀπέθανε καὶ ὀκτὼ οἱ ἄριστοι τῶν περὶ αὐτὸν ἔκειντο ἐπ' αὐτῷ [4].

Cortesano persa (σκηπτοῦχος)

224. Ἀρταπάτης δ', ὁ πιστότατος αὐτῷ τῶν σκηπτούχων θεράπων [1], λέγεται, ἐπειδὴ πεπτωκότα εἶδε Κῦρον, καταπηδήσας ἀπὸ τοῦ ἵππου περιπεσεῖν αὐτῷ. Καὶ οἱ μέν φασι βασιλέα κελεῦσαί τινα ἐπισφάξαι αὐτὸν Κύρῳ οἱ δ' [2] αὐτὸν ἐπισφάξασθαι σπασάλενον τὸν ἀκινάκην (εἶχε γὰρ χρυσοῦν), καὶ στρεπτὸν δ' ἐφόρει καὶ ψέλια καὶ τἆλλα, ὥσπερ οἱ ἄριστοι Περσῶν· ἐτετίμητο γὰρ ὑπὸ Κύρου δι' εὔνοιάν τε καὶ πιστότητα.

---

222. [1] οὐκ ἠνέσχετο, no pudo contenerse (de ἀνέχομαι). Nótese el doble aumento de este verbo.

[2] ἴετο, de ἵημι.

[3] Κτησίας. Ctesias fue un griego que durante diecisiete años sirvió de médico a Artajerjes y a toda la familia real.

223. [1] ὁπόσοι... Κτησίας λέγει, cuántos murieron de los que estaban junto al rey, lo dice Ctesias. Adviértase que ὁπόσοι es interrogatico indirecto.

224. [1] ὁ πιστότατος... θεράπων el más fiel... servidor. Los σκηπτοῦχοι (o portacetros) eran altos dignatarios que componían la guardia personal del príncipe.

[2] οἱ δὲ, entiéndase φασι... — αὐτὸν es el sujeto de ἐπισφάξασθαι, que es reflexivo.

LUCIANO

Luciano nació en Samosata (hoy Samisat), en la Siria del Norte, hacia el año 125 después de J. C.

En su juventud ejerció diversos oficios. Sus padres le destinaban a la escultura, y él mismo cuenta que fue puesto a las órdenes de un tío suyo que era hábil en el oficio; pero a los pocos días tuvo la mala fortuna de romper una placa de mármol, por lo que su tío le propinó una buena tanda de azotes. Desde aquel día abandonó el arte y se dedicó a una profesión que cuadraba mejor con las aficiones de su espíritu. Estudió la Sofística y la Retórica, y fue abogado en Antioquía de Siria y luego en Atenas. Recorrió después gran parte de Italia y de Francia, dando sesiones o conferencias literarias y acabó por establecerse de nuevo en Atenas. De esta época datan sus mejores escritos. Con su ingenio y con el estudio de los autores antiguos llegó a ser uno de los más célebres oradores de su tiempo y aun uno de los mejores escritores de la Literatura griega. Siendo ya de edad avanzada ejerció funciones públicas en Egipto, donde murió a fines del siglo II.

Entre sus obras, breves y muy numerosas por cierto, merecen conocerse los «Diálogos de los dioses» y los «Diálogos de los muertos», que han tenido notable influencia en las literaturas modernas; p. ej., en nuestros escritores clásicos Juan de Valdés y Quevedo.

El valor de todas ellas lo resume así el eminente P. Laurand: «Gran mérito de agudeza y de observación psicológica, rapidez en ver lo ridículo, fecundidad de invención y de fantasía, malicia al mismo tiempo mordaz y delicada. Sin embargo, todas estas cualidades no deben hacer olvidar que Luciano es un escéptico y un diletante, un espíritu estrecho que no comprendió jamás la belleza moral y que se burla de lo que no entiende.» Fuera de algunos neologismos, su estilo es puro y casi clásico. Es, sin duda, el más perfecto de aquellos escritores que por imitar a los áticos se llamaron aticistas.

El orden que hemos seguido en los diálogos es el pedagógico, no el bibliográfico.

DIÁLOGOS DE LOS MUERTOS

Éstos, en número de 30, tienen un fin moral contra la falsa hipocresía y el abuso del poder de las riquezas. Los interlocutores son los hombres más célebres de la Historia. Hemos escogido solamente siete de estos diálogos.

NI UN ÓBOLO

(Diál. 22)

Χάρων καὶ Μένιππος

225. Χάρων. Ἀπόδος, ὦ κατάρατε, τὰ πορθμεῖα [1].
Μένιππος. Βόα, εἰ τοῦτό σοι, ὦ Χάρων, ἥδιον.
Χάρ. Ἀπόδος, φημί, ἀνθ' ὧν [2] σε διεπορθμεύσαμεν [3].
Μέν. Οὐκ ἂν λάβοις παρὰ τοῦ μὴ ἔχοντος.
Χάρ. Ἔστι δέ τις ὀβολὸν μὴ ἔχων;
Μέν. Εἰ [4] μὲν καὶ ἄλλος τις, οὐκ οἶδα· ἐγὼ δ' οὐκ ἔχω.
Χάρ. Καὶ μὴν ἄγξω σε νὴ τὸν Πλούτωνα, ὦ μιαρέ, ἢν μὴ ἀποδῷς.
Μέν. Κἀγὼ τῷ ξύλῳ σου πατάξας τὸ κρανίον παραλύσω.

Monumento sepulcral

226. Χάρ. Μάτην οὖν ἔσῃ πεπλευκὼς τοσοῦτον πλοῦν;
Μέν. Ὁ Ἑρμῆς ὑπὲρ ἐμοῦ σοι ἀποδότω, ὅς με παρέδωκέ σοι.
Ερμ. Νὴ Δί', ὠνάμην [1], εἰ μέλλω γε καὶ ὑπερεκτίνειν τῶν νεκρῶν.
Χάρ. Οὐκ ἀποστήσομαί [2] σου.
Μέν. Τούτου γε ἕνεκα καὶ νεωλκήσας τὸ πορθμεῖον παράμενε· πλὴν ἀλλ' ὅ γε μὴ ἔχω, πῶς ἂν λάβοις;
Χάρ. Σὺ δ' οὐκ ἤδεις ὡς κομίζεσθαι δέον [3];

---

225. [1] τὰ πορθμεῖα, el precio del pasaje. Para ir al infierno, donde iban a parar las almas de todos los muertos, tenían que atravesar la laguna Estigia. Caronte era el barquero que transportaba las almas a través de ella. Por ello recibía de cada alma un óbolo.

[2] ἀνθ' ὧν. Se sobreentiende ταῦτα. Ἀπόδος ταῦτα.

[3] ἀνθ' ὧν διεπορθμεύσαμέν σε, lit. dame aquello (esto) por lo que te he pasado. Págame por haberte pasado.

[4] εἰ, se sobreentiende ἔχει.

226. [1] ὠνάμην γε, provecho sacaba si... ὠνάμην es aor. 2.° medio de ὀνίνημι u ὄνημι.

[2] ἀποστήσομαί. De ἀφίστημι, separar.

[3] ὡς κομίζεσθαι δέον (ἦν), que era necesario traer consigo (el óbolo).

227. Μέν. Ἤιδειν [1] μὲν, οὐκ εἶχον δέ. Τί οὖν; ἐχρῆν διὰ ταῦτα μὴ ἀποθανεῖν;

Χάρ. Μόνος οὖν αὐχήσεις προῖκα πεπλευκέναι;

Μέν. Οὐ προῖκα, ὦ βέλτιστε · καὶ γὰρ ἤντλησα, καὶ τῆς κώπης συνεπελαβόμην [2], καὶ οὐκ ἔκλαον μόνος τῶν ἄλλων ἐπιβατῶν.

Χάρ. Οὐδὲν ταῦτα [3] πρὸς πορθμέα · τὸν ὀβολὸν ἀποδοῦναί σε δεῖ· οὐ θέμις [4] ἄλλως γενέσθαι.

Μέν. Οὐκοῦν ἄπαγέ με αὖθις ἐς τὸν βίον.

Χάρ. Χάριεν λέγεις, ἵνα καὶ πληγὰς ἐπὶ τούτῳ παρὰ τοῦ Αἰακοῦ [5] προσλάβω.

Μέν. Μὴ ἐνόχλει οὖν.

228. Χάρ. Δεῖξον [1] τί ἐν τῇ πήρᾳ ἔχεις.

Μέν. Θέρμους, εἰ θέλεις, καὶ τῆς Ἑκάτης [2] τὸ δεῖπνον.

Χάρ. Πόθεν τοῦτον ἡμῖν, ὦ Ἑρμῆ, τὸν κύνα ἤγαγες; οἷα δὲ καὶ ἐλάλει παρὰ τὸν πλοῦν, τῶν ἐπιβατῶν ἁπάντων καταγελῶν καὶ ἐπισκώπτων, καὶ μόνος ἄδων, οἰμωζόντων ἐκείνων!

Ερμ. Ἀγνοεῖς, ὦ Χάρων, ὅντινα ἄνδρα διεπόρθμευσας, ἐλεύθερον ἀκριβῶς, κοὐδενὸς αὐτῷ μέλει [3]. Οὗτός ἐστιν ὁ Μένιππος.

Χάρ. Καὶ μὴν ἄν σε λάβω [4] ποτέ...,

Μέν. Ἂν λάβῃς, ὦ βέλτιστε · δὶς δὲ οὐκ ἂν λάβοις [5].

Las deudas de Caronte

(Diál. 4)

Ἑρμῆς [1] καὶ Χάρων [2]

229. Ἑρμῆς. Λογισώμεθα, ὦ πορθμεῦ, εἰ δοκεῖ [3], ὁπόσα μοι ὀφείλεις ἤδη, ὅπως μὴ [4] αὖθις ἐρίζωμέν τι περὶ αὐτῶν.

---

227. [1] Ἤιδειν = ἤδειν, de οἶδα.

[2] συνεπελαβόμην, de συν-επιλαμβάνομαι; significa echar mano a, rige genitivo como ἅπτομαι.

[3] οὐδὲν ταῦτα..., estas cosas nada (tienen que ver) con el precio del pasaje.

[4] οὐ θέμις, no hay otro remedio.

[5] Αἰακοῦ. Eaco, hijo de Júpiter, era uno de los tres jueces de los muertos. Luciano, en otro diálogo, le pone como guardián del infierno.

228. [1] δεῖξον, de δείκνυμι.

[2] Ἑκάτης. Hecate era una divinidad. En Atenas se le ofrecía el último día del mes un plato hecho de huevos y queso, que después era comido por los pobres.

[3] μέλει. — μέλει μοι τινός, tengo cuidado de algo.

[4] ἄν σε λάβω, si te vuelvo a coger.

[5] ἂν λάβοις, pero no me cogerás segunda vez. Es una oración potencial en la que se afirma una cosa, pero en forma modesta o irónica.

229. [1] Hermes o Mercurio, el dios rápido por excelencia, de atributos muy diversos: Mensajero de los dioses, conductor de las almas de los muertos, dios de los caminos y guía de los viajeros.

[2] Caronte era el barquero del infierno, que por un óbolo pasaba a los muertos de un lado a otro de la laguna Estigia.

[3] εἰ δοκεῖ (σοί).

[4] ὅπως μὴ o ἵνα μὴ, para que no.

Χάρων. Λογισώμεθα, ὦ Ἑρμῆ · ἄμεινον [5] γὰρ ὡρίσθαι, καὶ ἀπραγμονέστερον.

Ἑρμ. Ἄγκυραν ἐντειλαμένῳ [6] ἐκόμισα πέντε δραχμῶν [7].

Χάρ. Πολλοῦ λέγεις.

230. Ἑρμ. Νὴ τὸν Ἀϊδωνέα [1], τῶν πέντε ὠνησάμην [2], καὶ τροπωτῆρα δύο ὀβολῶν.



Monedas atenienses

Χάρ. Τίθει πέντε δραχμὰς καὶ ὀβολοὺς δύο.

Ἑρμ. Καὶ ἀκέστραν ὑπὲρ τοῦ ἱστίου [3]· πέντε ὀβολοὺς ἐγὼ κατέβαλον.

Χάρ. Καὶ τούτους προστίθει.

Ἑρμ. Καὶ κηρὸν, ὡς ἐπιπλάσαι [4] τοῦ σκαφιδίου τὰ ἀνεῳγότα, καὶ ἥλους δὲ, καὶ καλώδιον, ἀφ' οὗ [5] τὴν ὑπέραν ἐποίησας, δύο δραχμῶν ἅπαντα.

Χάρ. Καὶ ἄξια ταῦτα ὠνήσω [6].

Ἑρμ. Ταῦτά ἐστιν, εἰ μή τι ἄλλο ἡμᾶς διέλαθεν [7] ἐν τῷ λογισμῷ. Πότε δ' οὖν ταῦτα ἀποδώσειν φής;

231. Χάρ. Νῦν μέν, ὦ Ἑρμῆ, ἀδύνατον · ἢν [1] δὲ λοιμός τις ἢ πόλεμος καταπέμψῃ ἀθρόους τινὰς [2], ἐνέσται τότε ἀποκερδᾶναι, παραλογιζόμενον [3] τὰ πορθμεῖα.

---

[5] ἄμεινον, súplase ἐστί. — ὡρίσθαι. Adviértase el significado de este tiempo (de ὁρίζω) tener limitado, determinado.

[6] ἐντειλαμένῳ (σοί), de ἐντέλλομαι, encargar.

[7] πέντε δραχμῶν. Genitivo de precio, lo mismo que los que siguen. La dracma puede tenerse por equivalente a la peseta (oro), y el óbolo, que era la sexta parte, valdría poco más de quince céntimos.

230. [1] Νὴ τὸν Ἀϊδωνέα, sí por Plutón. Νὴ pide acusativo. Ἀϊδωνεύς y Ἅδης son otros nombres de Plutón.

[2] ὠνησάμην (de ὠνέομαι). En vez de este aoristo, los escritores áticos empleaban la forma ἐπριάμην, *emi*. Los acusativos siguientes, τροπωτῆρα, ἀκέστραν, etc., dependen de ἐκόμισα. — τίθει, pon; i. e., añade; 2.ª persona pres. de imp. de τίθημι.

[3] ὑπὲρ τοῦ ἱστίου, para la vela; i. e., para repasar la vela.

[4] ὡς ἐπιπλάσαι, para tapar (final). — τὰ ἀνεῳγότα, las aberturas (de ἀνοίγω).

[5] ἀφ' οὗ. lit. *ex quo*; i. e., de la cual.

[6] ὠνήσω, 2.ª pers. sing. aor. ind. medio de ὠνέομαι; has adquirido estas cosas a buen precio.

[7] εἰ μή τι ἄλλο ἡμᾶς διέλαθεν, sino se nos ha olvidado algo.

231. [1] ἢν = ἐαν.

[2] ἀθρόους τινὰς, algunos grupos o montones (de cadáveres); pero adviértase que ἀθρόους es adjetivo.

[3] παραλογιζόμενον (debe referirse a ἐμέ, sujeto sobreentendido de ἀποκερδᾶναι) lit. será posible entonces que yo gane (algo) haciendo trampas en los pasajes. Caronte da a entender que él, aprovechando la confusión, no dará a Eaco, como debe, todos los óbolos recibidos.

Ἑρμ. Νῦν οὖν ἐγὼ καθεδοῦμαι, [4] τὰ κάκιστα εὐχόμενος γενέσθαι, ὡς ἂν ἀπὸ τούτων ἀπολάβοιμι;

Χάρ. Οὐκ ἔστιν ἄλλως, ὦ Ἑρμῆ. Νῦν δ' ὀλίγοι, ὡς ὁρᾷς, ἀφικνοῦνται ἡμῖν· εἰρήνη γάρ [5].

232. Ἑρμ. Ἄμεινον οὕτως, εἰ καὶ ἡμῖν παρατείνοιτο ὑπό σου τὸ ὄφλημα. Πλὴν ἀλλ' [1] οἱ μὲν παλαιοί, ὦ Χάρων, οἶσθα οἷοι παρεγίγνοντο, ἀνδρεῖοι ἅπαντες, αἵματος ἀνάπλεῳ [2] καὶ τραυματίαι οἱ πολλοί· νῦν δὲ [3] ἢ φαρμάκῳ τις ὑπὸ τοῦ παιδὸς [4] ἀποθανών, ἢ ὑπὸ τῆς γυναικός, ἢ ὑπὸ τρυφῆς [5] ἐξῳδηκὼς τὴν γαστέρα καὶ τὰ σκέλη, ὠχροὶ ἅπαντες καὶ ἀγεννεῖς, οὐδὲν ὅμοιοι ἐκείνοις. Οἱ δὲ πλεῖστοι αὐτῶν διὰ χρήματα ἥκουσιν ἐπιβουλεύοντες ἀλλήλοις, ὡς ἐοίκασι.

Χάρ. Πάνυ γὰρ περιπόθητά [6] ἐστι ταῦτα.

Ἑρμ. Οὐκοῦν [7] οὐδὲ ἐγὼ δόξαιμι [8] ἂν ἁμαρτάνειν, πικρῶς ἀπαιτῶν τὰ ὀφειλόμενα παρά σου [9].

Un concurso de belleza

(Diál. 25)

Νιρεὺς καὶ Θερσίτης καὶ Μένιππος

233. Νιρ. Ἰδού [1] δή, Μένιππος οὑτοσὶ δικάσει πότερος [2] εὐμορφότερός ἐστιν. Εἰπέ, ὦ Μένιππε, οὐ καλλίων σοι δοκῶ [3];

Μέν. Τίνες δὲ καὶ ἔστε; πρότερον, οἶμαι, χρὴ γὰρ τοῦτο εἰδέναι.

---

4 καθεδοῦμαι, de καθέζω asentar; *med.*, estar sentado, sentarse. — ὡς ἂν... ἀπολάβοιμι, para ver si recibo, si saco provecho. Adviértase que el optativo sin ἄν no sería correcto, pues el verbo de la oración principal está en futuro. Nótese el matiz que se ha querido dar en la traducción española.

5 εἰρήνη γάρ (ἐστί).

232. 1 πλὴν ἀλλ', por lo demás. Locución muy frecuente en Luciano.

2 ἀνάπλεῳ, nom. plu. de ἀνάπλεως. Llenos de sangre (por haber caído en la batalla).

3 νῦν δὲ... τις, súplase παραγίγνεται.

4 ὑπὸ τοῦ παιδὸς... ἢ ὑπὸ τῆς γυναικός. Son las personas agentes. — φαρμάκῳ es instrumento.

5 ὑπὸ τρυφῆς, por causa, a consecuencia del regalo, de la molicie. — ἐξῳδηκὼς, de ἐξοιδέω, hincharse. — τὴν γαστέρα καὶ τὰ σκέλη, acusativo de parte. Gr. n.° 278.

6 περιπόθητα, adj. verb. (de ποθέω). El περί refuerza la significación, como en latín *per (permultus*, etc.).

7 οὐκοῦν, afirmativa. — οὖν, *nempe, ergo.*

8 δόξαιμι ἄν, afirmación modesta.

9 παρά σου, depende de ἀπαιτῶν (lat. *a te).*

233. 1 ἰδού, aor. imperat. med. de ὁράω, *vide, ecce.*

2 πότερος, quién de los dos *(uter).*

3 οὐ καλλίων σοι δοκῶ; *nonne pulchrior tibi videor?*

Νιρ. Νιρεὺς καὶ Θερσίτης.

Μέν. Πότερος οὖν ὁ Νιρεύς, καὶ πότερος ὁ Θερσίτης; οὐδέπω γὰρ τοῦτο δῆλον [4].

234. Θερσ. Ἓν μὲν ἤδη τοῦτ' ἔχω, ὅτι ὁμοιός εἰμί σοι, καὶ οὐδὲν τηλικοῦτον [1] διαφέρεις, ἡλίκον σε Ὅμηρος ἐκεῖνος ὁ τυφλὸς [2] ἐπήνεσεν, ἁπάντων εὐμορφότερον προσειπών· ἀλλ' ὁ φοξὸς ἐγώ, καὶ ψεδνός [3], οὐδὲν χείρων ἐφάνην τῷ δικαστῇ. Ὅρα δὲ σὺ, ὦ Μένιππε, ὅντινα καὶ εὐμορφότερον ἡγῇ [4].

Νιρ. Ἐμέ γε τὸν [5] Ἀγλαΐας καὶ Χαρόπου [6].

ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθον.

Μέν. Ἀλλ' οὐχὶ καὶ ὑπὸ γῆν, ὡς οἶμαι, κάλλιστος ἦλθες. ἀλλὰ τὰ μὲν ὀστᾶ ὅμοια, τὸ δὲ κρανίον ταύτῃ [7] μόνον ἄρα διακρίνοιτ' ἂν ἀπὸ τοῦ Θερσίτου κρανίου, ὅτι εὔθρυπτον τὸ σόν· ἀλαπαδνὸν γὰρ οὐκ ἀνδρῶδες ἔχεις.

El Partenón

235. Νιρ. Καὶ μὴν ἐροῦ Ὅμηρον [1], ὁποῖος ἦν, ὁπότε συνεστράτευον τοῖς Ἀχαιοῖς.

Μέν. Ὀνείρατά μοι λέγεις· ἐγὼ δὲ βλέπω ἃ καὶ νῦν ἔχεις· ἐκεῖνα δὲ οἱ τότε ἴσασιν.

Νιρ. Οὔκουν [2] ἐγὼ ἐνταῦθα εὐμορφότερός εἰμι, ὦ Μένιππε;

Μέν. Οὔτε σὺ οὔτ' ἄλλος εὔμορφος· ἰσοτιμία [3] γὰρ ἐν Ἅιδου [4], καὶ ὅμοιοι ἅπαντες.

Θερσ. Ἐμοὶ μὲν οὖν καὶ τοῦτο ἱκανόν.

---

[4] δῆλον (entiéndase ἐστὶ), claro, evidente.

234. [1] τηλικοῦτον... ἡλίκον (adverbios), tanto... cuanto.

[2] ἐκεῖνος ὁ τυφλὸς, aquel ciego. La ceguedad de Homero, transmitida por la leyenda, es un argumento en favor de Tersites.

[3] φοξὸς y ψεδνὸς. Alusión a la *Ilíada*, II, 219. Homero dice: «rematábale en punta la cabeza (φοξός) y sobre la calva flotábale una ligera pelusa» (λάχνη ψεδνή).

[4] ἡγῇ de ἡγέομαι, conducir, juzgar (lat. *duco*).

[5] τὸν, supl. υἱόν.

[6] Ἀγλαΐα, ας, Aglea, nombre propio. — Χάροπος, de Χαρ-οψ (lit. de ojos brillantes). Caropo, rey de Sima, isla de la costa de la Caria. Nireo cita también un texto de Homero (*Ilíada*, II, 672.)

[7] ταύτῃ..., dativo de limitación. — ταύτῃ μόνον ἂν διακρίνοιτο... ὅτι εὔθρυπτον (ἐστί) τὸ σόν. Sólo en esto se puede distinguir... en que el tuyo es frágil...

235. [1] ἐροῦ Ὅμηρον, (de ἐρέσθαι).-οἱ τότε, la de entonces. Gr. n.° 203.

[2] οὔκουν, interrogativa: *nonne?*, ¿acaso no?

[3] ἰσοτιμία γὰρ (ἐστί).

[4] ἐν Ἅιδου (οἴκῳ). — Ἅιδης, Hades, dios de los infiernos (= Plutón).

Un compañero insoportable

(Diál. 2)

Κροῖσος[1], Πλούτων[2], Μένιππος[3], Μίδας[4], Σαρδανάπαλλος[5]

236. Κροῖσος. Οὐ φέρομεν[6], ὦ Πλούτων, Μένιππον τουτονὶ[7] τὸν κύνα[8] παροικοῦντα[9] · ὥστε ἢ ἐκεῖνόν μοι μετάστησον[10], ἢ ἡμεῖς μετοικήσομεν ἐς ἕτερον τόπον.

Πλούτων. Τί δ' ὑμᾶς δεινὸν ἐργάζεται[11], ὁμόνεκρος ὤν;

Κροῖσ. Ἐπειδὰν[12] ἡμεῖς οἰμώζωμεν καὶ στένωμεν, ἐκείνων μεμνημένοι τῶν ἄνω[13], Μίδας μὲν οὑτοσὶ τοῦ χρυσίου, Σαρδανάπαλλος δὲ τῆς πολλῆς τρυφῆς, ἐγὼ δὲ Κροῖσος τῶν θησαυρῶν, ἐπιγελᾷ καὶ ἐξονειδίζει, ἀνδράποδα καὶ καθάρματα ἡμᾶς ἀποκολῶν · ἐνίοτε δὲ καὶ ᾄδων ἐπιταράττει ἡμῶν τὰς οἰμωγάς, καὶ ὅλως λυπηρός ἐστι.

237. Πλούτ. Τί ταῦτά φασιν[1], ὦ Μένιππε;

Μένιππος. Ἀληθῆ, ὦ Πλούτων · μισῶ γὰρ αὐτούς, ἀγεννεῖς καὶ ὀλέθρους ὄντας, οἷς οὐκ ἀπέχρησε[2] βιῶναι κακῶς ἀλλὰ καὶ ἀποθανόντες ἔτι μέμνηνται καὶ περιέχονται τῶν ἄνω · χαίρω τοιγαροῦν ἀνιῶν αὐτούς.

---

236. [1] Κροῖσος. Creso, último rey de Lidia, que vivió en el siglo VI (a. de J. C.), célebre por sus riquezas.

[2] Πλούτων. Plutón, dios del Infierno, hermano de Júpiter y de Neptuno.

[3] Μένιππος. Menipo, filósofo cínico (siglo III a. de J. C.). Es el principal personaje de los «Diálogos de los Muertos», y su papel es poner en ridículo la grandeza y la vanidad humanas.

[4] Μίδας. Midas, rey de Frigia, que obtuvo de Baco el poder de cambiar en oro todas las cosas.

[5] Σαρδανάπαλλος. Sardanápalo (Absurbanipal), último rey de los Asirios (siglo VIII a. de J. C.), célebre en la antigüedad por su amor al lujo y a los placeress.

[6] οὐ φέρομεν, no soportamos.

[7] τουτονὶ, acusat. de οὑτοσί, αὑτηί, τουτί. Este sufijo -ι, añadido a los pronombres o adverbios demostrativos, les da idea de cercanía.

[8] τὸν κύνα. Los filósofos cínicos tenían este nombre del Gimnasio de Cinosarge, en Atenas, donde celebraban sus reuniones; pero en seguida el pueblo lo derivó de perro, κύων, a causa de la desvergüenza y absoluto desprecio de las formas sociales.

[9] παροικοῦντα, súplase ἡμῖν.

[10] μετάστησον, imperat. de aor. 1.° de μεθίστημι, cambiar, trasladar.

[11] ἐργάζεται (ἔργον), hace; con dos acusativos de persona y de cosa.

[12] ἐπειδὰν, se emplea esta partícula (en vez de ἐπειδή), cuando se trata de un hecho repetido (construcción indefinida). Gr. n.° 334

[13] τῶν ἄνω, de las cosas de arriba. Depende de μεμνημένοι. (Adviértase el significado de este participio). Gr. n.° 251.

237. [1] τί ταῦτά φασιν = τί ἐστι ταῦτα ἃ φασιν.

[2] οἷς οὐκ ἀπέχρησε, a los que no les bastó (ἀπο-χρῆν, compuesto de ἀπό y χράω).

Πλούτ. Ἀλλ' οὐ χρή · λυποῦνται γὰρ οὐ μικρῶν στερούμενοι.

Μέν. Καὶ σὺ μωραίνεις, ὦ Πλούτων, ὁμόψηφος ὢν τοῖς τούτων στεναγμοῖς;

Πλούτ. Οὐδαμῶς, ἀλλ' οὐκ ἂν ἐθέλοιμι [3] στασιάζειν ὑμᾶς.

238. Μέν. Καὶ μήν [1], ὦ κάκιστοι Λυδῶν καὶ Φρυγῶν καὶ Ἀσσυρίων, οὕτω γιγνώσκετε ὡς οὐδὲ παυσομένου μου [2], ἔνθα [3] γὰρ ἂν ἴητε, ἀκολουθήσω ἀνιῶν καὶ κατᾴδων καὶ καταγελῶν.

Κροῖσ. Ταῦτα οὐχ ὕβρις;

Μέν. Οὔκ, ἀλλ' ἐκεῖνα ὕβρις ἦν, ἃ ὑμεῖς ἐποιεῖτε, προσκυνεῖσθαι ἀξιοῦντες, καὶ ἐλευθέροις ἀνδράσιν ἐντρυφῶντες, καὶ τοῦ θανάτου τὸ παράπαν οὐ μνημονεύοντες. Τοιγαροῦν οἰμώξεσθε πάντων ἐκείνων ἀφῃρημένοι [4].

239. Κροῖσ. Πολλῶν γε, ὦ θεοί, καὶ μεγάλων κτημάτων!

Μίδ. Ὅσου [1] μὲν ἐγὼ χρυσοῦ!

Σαρδ. Ὅσης δὲ ἐγὼ τρυφῆς!

Μέν. Εὖ γε, οὕτω ποιεῖτε · ὀδύρεσθε μὲν ὑμεῖς, ἐγὼ δὲ «τὸ γνῶθι σαυτόν» [2], πολλάκις συνείρων [3] ἐπᾴσομαι ὑμῖν · πρέποι γὰρ ἂν [4] ταῖς τοιαύταις οἰμωγαῖς ἐπᾳδόμενον.

La belleza es como las flores...

(Diál. 18)

Μένιππος καὶ Ἑρμῆς

240. Μέν. Ποῦ δὲ οἱ καλοί εἰσιν ἢ αἱ καλαί, Ἑρμῆ; Ξενάγησόν [1] με νέηλυν [2] ὄντα.

---

[3] οὐκ ἂν ἐθέλοιμι, no quisiera (afirmación modesta o idea de potencialidad).

238. [1] καὶ μήν, pues bien; sin embargo.

[2] οὕτω γιγνώσκετε ὡς οὐδὲ παυσομένου μου, pensad de esta manera, que yo, cesando nunca...

[3] ἂν ἴητε, ἔνθα... a donde quiera que vayáis (constr. ind. Gr. n.° 338).

[4] ἀφῃρημένοι (de ἀφαιρέω), privados. Adviértase la significación de este tiempo, y téngase presente que de él dependen los genitivos siguientes.

239. [1] ὅσου, exclamativo: de cuánto oro.

[2] γνῶθι σαυτόν, *nosce te ipsum*. Máxima célebre en la filosofía moral de los griegos, que estaba grabada con letras de oro en la fachada del Templo de Delfos.

[3] συνείρων, de συν-είρειν, entrelazar, repetir continuamente.

[4] πρέποι γὰρ ἄν... ἐπᾳδόμενον, porque conviene sin duda que (ese dicho) se cante como estribillo a vuestros lamentos.— πρέποι... ἄν es una afirmación modesta.

240. [1] ξενάγησόν, de ξεναγέω (comp. de ξένος y ἄγέω).

[2] νέηλυν ὄντα, porque soy recién venido (partic. con sentido causal).

Ἑρμ. Οὐ σχολή μοι, ὦ Μένιππε · πλὴν [3] κατ' ἐκεῖνο ἀπόβλεψον, ὡς ἐπὶ τὰ δεξιά, ἔνθα ὁ Ὑάκινθός [4] τέ ἐστι, καὶ Νάρκισσος, καὶ Νιρεύς, καὶ Ἀχιλλεύς, καὶ Τυρώ, καὶ Ἑλένη, καὶ Λήδα, καὶ ὅλως [5] τὰ ἀρχαῖα πάντα κάλλη.

Μέν. Ὀστᾶ μόνα ὁρῶ καὶ κρανία τῶν σαρκῶν γυμνά, καὶ ὅμοια τὰ πολλά.

241. Ἑρμ. Καὶ μὴν ἐκεῖνά ἐστιν, ἃ πάντες οἱ ποιηταὶ θαυμάζουσι, τὰ ὀστᾶ, ὧν σὺ ἔοικας καταφρονεῖν [1].

Μέν. Ὅμως τὴν Ἑλένην μοι δεῖξον · οὐ γὰρ ἂν διαγνοίην [2] ἔγωγε.

Ἑρμ. Τουτὶ τὸ κρανίον ἡ Ἑλένη ἐστίν.

Μέν. Εἶτα [3] διὰ τοῦτο αἱ χίλιαι νῆες [4] ἐπληρώθησαν ἐξ ἁπάσης τῆς Ἑλλάδος, καὶ τοσοῦτοι ἔπεσον Ἕλληνές τε καὶ βάρβαροι [5], καὶ τοσαῦται πόλεις ἀνάστατοι γεγόνασιν;

242. Ερμ. Ἀλλ' οὐκ εἶδες, ὦ Μένιππε, ζῶσαν τὴν γυναῖκα. ἔφης γὰρ ἂν καὶ σὺ ἀνεμέσητον εἶναι.

Τοιῇδ' [1] ἀμφὶ γυναικὶ πολὺν χρόνον ἄλγεα πάσχειν ·

ἐπεὶ καὶ [2] τὰ ἄνθη ξηρὰ ὄντα εἴ τις βλέποι ἀποβεβληκότα τὴν βαφὴν, ἄμορφα δῆλον ὅτι [3] αὐτῷ δόξει · ὅτε μέντοι ἀνθεῖ καὶ ἔχει τὴν χροιάν, κάλλιστά ἐστιν.

Μέν. Οὐκοῦν τοῦτο, ὦ Ἑρμῆ, θαυμάζω εἰ [4] μὴ συνίεσαν [5] οἱ Ἀχαιοὶ

---

[3] πλὴν, sin embargo.

[4] Ὑάκινθος, etc. Héroes de la mitología griega, célebres todos por su belleza. Los dos primeros, Jacinto y Narciso, se dice que fueron transformados en flores. Nireo era tenido, después de Aquiles, (Ἀχιλεύς) por el más hermoso de los griegos que fueron a Troya. Tiro, (Τιρώ) Elena (Ἑλένη) y Leda (Λήδα) son nombres de mujeres célebres también por su hermosura. Elena era, como es sabido, esposa de Menelao, rey de Esparta, y fue arrebatada por el príncipe troyano Paris, lo cual dio lugar a la famosa guerra de Troya, que duró diez años y que acabó con la destrucción de toda la ciudad.

[5] καὶ ὅλως, y en una palabra.

241. [1] ὧν σὺ ἔοικας καταφρονεῖν, a los cuales tú pareces despreciar.—καταφρονέω (como casi todos los compuestos de κατά) pide genitivo de persona.

[2] οὐκ ἂν διαγνοίην, de διαγιγνώσκω.

[3] εἶτα. Expresa la admiración de Menipo: conque...

[4] αἱ χίλιαι νῆες, las mil naves que llevaron a los griegos a Troya.

[5] βάρβαροι, i. e., los troyanos. Es sabido que los griegos (y después los latinos) llamaban bárbaros a todos los pueblos que no eran de su raza.

242. [1] τοιῇδ'... πάσχειν. Este verso lo pone Homero *(Ilíada,* 3, 156) en boca de los ancianos de Troya.—ἀμφί (sólo en poesía se usa con dativo), por.—ἄλγεα= ἄλγη. Los poetas omiten con frecuencia las contracciones.

[2] ἐπεὶ καὶ, pues también.—ἐπεί equivale a γάρ.

[3] δῆλον (ἐστί) ὅτι.

[4] θαυμάζω εἰ, *miror si,* me admiro de que.

[5] συνίεσαν, de συν-ίημι, entender.

περὶ πράγματος οὕτως ὀλιγοχρονίου καὶ ῥᾳδίως ἀπανθοῦντος πονοῦντες [6].

Ερμ. Οὐ σχολή μοι, ὦ Μένιππε, συμφιλοσοφεῖν σοι · ὥστε σὺ μὲν ἐπιλεξάμενος [7] τόπον, ἔνθα ἂν ἐθέλῃς [8], κεῖσο καταβαλὼν σεαυτόν · ἐγὼ δὲ τοὺς ἄλλους νεκροὺς ἤδη μετελεύσομαι.



Mausoleo

Las ilusiones del Rey Mausolo

(Diál. 24)

Διογένης [1] καὶ Μαύσωλος [2]

243. Διογ. Ὦ Κάρ [3], ἐπὶ τίνι μέγα φρονεῖς [4] καὶ πάντων ἡμῶν προτιμᾶσθαι ἀξιοῖς;

Μαύσ. Καὶ ἐπὶ τῇ βασιλείᾳ [5] μέν ,ὦ Σινωπεῦ, ὃς ἐβασίλευσα Καρίας μὲν ἁπάσης [6], ἦρξα δὲ καὶ Λυδῶν ἐνίων, καὶ νήσους δέ τινας ὑπηγαγόμην, καὶ ἄχρι Μιλήτου [7] ἐπέβην, τὰ πολλὰ τῆς Ἰωνίας καταστρεφόμενος · καὶ καλὸς ἦν, καὶ μέγας, καὶ ἐν πολέμοις καρτερός [8].

---

[6] εἰ μὴ συνίεσαν... πονοῦντες, si no entendieron que trabajaban...

[7] ἐπιλεξάμενος, de ἐπιλέγω (en la voz media), escoger.

[8] ἔνθα ἂν ἐθέλῃς..., donde quieras (constr. indef. Gr. n.° 338).

243. [1] Διογένης. Diógenes, filósofo cínico, natural de Sínope, célebre por su austeridad y sus extravagancias.

[2] Μαύσωλος. Mausolo, sátrapa o gobernador de Caria (comarca del Asia Menor), conquistó la Lidia y parte de la Jonia, y reinó desde el 377 a 353 a. de J. C. Su mujer, Artemisa, le hizo construir en Halicarnaso el célebre sepulcro conocido con el nombre de «Mausoleum» (Mausoleo), que fue una de las siete maravillas del mundo.

[3] Κάρ. Cario, habitante de Caria; este nombre tiene algo de injurioso, pues los griegos los tenían por viles y estúpidos, y sólo buenos para esclavos.

[4] μέγα φρονεῖν, tener pensamientos altivos, estar orgulloso.— τίνι es interrogativo. πάντων ἡμῶν, genit. dependiente de προτιμᾶσθαι. (Gr. n.° 252).

[5] καὶ ἐπὶ τῇ βασιλείᾳ (μέγα φρονῶ). Σινωπεύς, έως, habitante de Sínope, ciudad de Paflagonia, en la costa del Mar Negro (Ponto Euxino).

[6] Καρίας ἁπάσης... καὶ Λυδῶν..., genitivos dependientes de ἐβασίλευσα y ἦρξα (ἄρχω). (Gr. n.° 251).—καὶ νήσους τινας, y también... algunas islas: Rodas, Cos y Quio, en el Mar Egeo.

[7] ἄχρι Μιλήτου, hasta Mileto, ciudad floreciente de la Jonia (costa del Asia Menor), patria de Thales y cuna de la Filosofía Jónica.

[8] τὰ πολλὰ τῆς, la mayor parte de... —καρτερός = κρατερός (κράτος, fuerza), fuerte, poderoso.

τὸ δὲ μέγιστον [9], ὅτι ἐν Ἁλικαρνασσῷ [10] μνῆμα παμμέγεθες ἔχω ἐπικείμενον, ἡλίκον [11] οὐκ ἄλλος νηκρός, ἀλλ' οὐδὲ οὕτως ἐς κάλλος ἐξησκημένον, ἵππων [12] καὶ ἀνδρῶν ἐς τὸ ἀκριβέστατον εἰκασμένων λίθου τοῦ καλλίστου, οἷον [13] οὐδὲ νεὼν εὕροι τις ἂν ῥᾳδίως. Οὐ δοκῶ σοι δικαίως ἐπὶ τούτοις μέγα φρονεῖν;

244. Διογ. Ἐπὶ τῇ βασιλείᾳ φῂς [1] καὶ τῷ κάλλει καὶ τῷ βάρει τοῦ τάφου;

Μαύσ. Νὴ Δί' [2], ἐπὶ τούτοις.

Διογ. Ἀλλ', ὦ καλὲ Μαύσωλε [3], οὔτε ἡ ἰσχὺς ἐκείνη ἔτι σοι οὔτε ἡ μορφὴ πάρεστιν· εἰ γοῦν τινα ἑλοίμεθα δικαστὴν εὐμορφίας πέρι [4] οὐκ ἔχω εἰπεῖν [5] τίνος ἕνεκα [6] τὸ σὸν κρανίον προτιμηθείη ἂν τοῦ ἐμοῦ, φαλακρὰ γὰρ ἄμφω καὶ γυμνά, καὶ τοὺς ὀδόντας ὁμοίως προφαίνομεν, καὶ τοὺς ὀφθαλμοὺς ἀφῃρήμεθα [7] καὶ τὰς ῥῖνας ἀπο-σεσιμώμεθα. Ὁ δὲ τάφος καὶ οἱ πολυτελεῖς ἐκεῖνοι λίθοι Ἁλικαρνκσσεῦσι μὲν ἴσως εἶεν [8] ἐπιδείκνυσθαι καὶ φιλοτιμεῖσθαι πρὸς τοὺς ξένους [9], ὡς [10] δή τι μέγα οἰκοδόμημα αὐτοῖς ἐστι· σὺ δὲ, ὦ βέλτιστε, οὐχ ὁρῶ ὅ τι ἀπολαύεις αὐτοῦ [11], πλὴν εἰ μὴ [12] τοῦτο φῄς, ὅτι μᾶλλον ἡμῶν ἀχθοφορεῖς, ὑπὸ τηλικούτοις λίθοις πιεζόμενος.

245. Μαύσ. Ἀνόνητα οὖν μοι ἐκεῖνα πάντα, καὶ ἰσότιμος ἔσται Μαύσωλος καὶ Διογένης;

---

9 τὸ δὲ μέγιστον (adv.), y sobre todo *(maxime)*.

10 Ἁλικαρνασσῷ. Halicarnaso, capital de la Caria y patria del historiador Herodoto. ἐπικείμενον (ἐμοί), que yace sobre mi cuerpo.

11 ἡλίκον, tal cual, οὐκ ἄλλος νεκρὸς (ἔχει).— (ἐς = εἰς) κάλλος ἐξησκημένον (ἐξασκέω), *ad pulchritudinem factum*, hecho a la perfección.

12 ἵππων..., genit. absoluto.—ἐς τὸ ἀκριβέστατον, con toda perfección. λίθου, genitivo de materia: de piedra, de mármol. (Gr. n.° 274).

13 οἷον οὐδὲ νεὼν εὕροι... ῥᾳδίως, *quale nec templum facile quis inveniet.*— οὐ δοκῶ, *nonne videor?*

244. 1 φῂς (supl. μέγα φρονεῖν).

2 Νὴ Δία, sí, por Júpiter.

3 ὦ καλὲ Μαύσωλε, nótese que es ironía.

4 εὐμορφίας πέρι. La preposición περὶ sigue aquí a su complemento (= περὶ εὐμορφίας); por eso está acentuada en la primera sílaba.

5 οὐκ ἔχω εἰπεῖν, *nequeo dicere*, no puedo decirte...

6 τίνος ἕνεκα = ἕνεκα τίνος, por qué razón. Es una interrogativa indirecta potencial.

7 τοὺς ὀφθαλμοὺς ἀφῃρήμεθα, estamos privados de los ojos. Cuando un verbo como ἀφαιρέω lleva dos acusativos, al ponerse la oración en pasiva el nombre de persona viene a ser sujeto, y el nombre de cosa queda en acusativo. (Gr. n.° 234). τὰς ῥῖνας es acusativo de relación o de parte.—ἀποσεσιμώμεθα de ἀπο-σιμόω.

8 ἴσως(ἂν)εἶεν, quizá sean...—ἐπιδείκνυσθαι, inf. final depen. de εἶεν, lo mismo que φιλοτιμεῖσθαι. (Gr. n.° 314).

9 πρὸς τοὺς ξένους, ante los extranjeros.

10 ὡς (= ὅτι). Porque...

11 ὅ τι ἀπολαύεις αὐτοῦ, qué provecho sacas de ello.

12 πλὴν εἰ μὴ, *nisi.*— μᾶλλον ἡμων = μᾶλλον ἢ ἡμεῖς.

Διογ. Οὐκ ἰσότιμος, ὦ γενναιότατε · οὐ γάρ [1]. Μαύσωλος μὲν γὰρ οἰμώξεται μεμνημένος τῶν ὑπὲρ γῆς, ἐν οἷς εὐδαιμονεῖν ᾤετο · Διογένης δὲ καταλελάσεται αὐτοῦ. Καὶ τάφον ὁ μὲν ἐν Ἁλικαρνασσῷ ἐρεῖ [2] ἑαυτοῦ ὑπὸ Ἀρτεμισίας, τῆς γυλαικὸς καὶ ἀδελφῆς [3], κατεσκευασμένον · ὁ Διογένης δὲ, τοῦ μὲν σώματος [4] εἰ καί [5] τινα τάφον ἔχει, οὐκ οἶδεν · οὐδὲ γὰρ ἔμελεν αὐτῷ τούτου [6] · λόγον [7] δὲ τοῖς ἀρίστοις [8] περὶ αὐτοῦ [9] καταλέλοιπεν, ἀνδρὸς βίον βεβιωκώς, ὑψηλότερον. ὦ Καρῶν ἀνδραποδωδèστατε [10], τοῦ σου μνήματος καὶ ἐν βεβαιοτέρῳ χωρίῳ κατεσκευασμένον.

Los captadores de herencias

(Diál. 5)

Πλούτων καὶ Ἑρμης

246. Πλούτ. Τὸν γέροντα οἶσθα, τὸν πάνυ λεληρακότα λέγω, τὸν πλούσιον Εὐκράτην, ᾧ παῖδες μὲν οὐκ εἰσίν, οἱ τὸν κλῆρον δὲ θηρῶντες [1] πεντακισμύριοι;

Ἑρμ. Ναί, τὸν Σικυώνιον [2] φής. Τί οὖν;

Πλούτ. Ἐκεῖνον μὲν, ὦ Ἑρμῆ, ζῆν ἔασον, ἐπὶ τοῖς ἐνενήκοντα ἔτεσιν, ἃ βεβίωκεν, [3] ἐπιμετρήσας ἄλλα τοσαῦτα [3], εἰ δὲ οἷόν τε ἦν [4],

---

245. [1] οὐ γάρ, de ningún modo.

[2] ἐρεῖ (fut. de λέγω) ἑαυτοῦ (supl. εἶναι), dirá que es suyo.

[3] τῆς γυναικὸς καὶ ἀδελφῆς, no repite el artículo por tratarse de una misma persona, pues entre ciertos pueblos antiguos podía un hermano tomar por esposa a una hermana, con tal que no hubiera nacido de la misma madre.

[4] τοῦ σώματος. Constrúyase τάφον τοῦ σώματος.

[5] καί, refiriéndose a τινα (no a εἰ), cualquiera. La frase entera ordénese así: ὁ Διογένης δὲ οὐκ οἶδεν εἰ ἔχει καί τινα τάφον τοῦ σώματος; pero adviértase al mismo tiempo el valor del hipérbaton griego.

[6] οὐδὲ ἔμελεν αὐτῷ τούτου, ni le importaba a él esto. Cicerón dice de él: *proici se iussit inhumatum.*

[7] λόγον, nombre, fama, únase con ὑψηλότερον y con κατεσκευασμένον.

[8] τοῖς ἀρίστοις, a los hombres de bien, a los mejores.

[9] αὐτοῦ = ἑαυτοῦ.

[10] ἀνδραποδωδέστατε, superl. de ἀνδραποδώδης, servil, miserable, de los Carios.

246. [1] τὸν κλῆρον δὲ θηρῶντες, captadores de herencias. Existía en el Imperio romano un medio de hacer fortuna, que había empezado a ser un verdadero arte: era la captación de testamentos. Ya Séneca dijo: *qui captandorum testamentorum artem professi sunt.* — πεντακισμύριοι, lit. cincuenta mil, es decir, innumerables.

[2] Σικυώνιον, el de Sicion. Esta ciudad estaba en Acaya. — τί οὖν; ¿qué, pues?

[3] ἃ βεβίωκεν, que ha vivido. — βιόω es intransitivo. Estos verbos pueden llevar un acusativo de su misma raíz o significado. (Gr. n.° 231). ἄλλα τοσαῦτα, otros tantos.

[4] εἰ δὲ οἷόν τε ἦν, y si fuera posible.

καὶ ἔτι πλείω · τοὺς δὲ κόλακας αὐτοῦ, Χαρῖνον νέον, καὶ Δάμωνα, καὶ τοὺς ἄλλους κατάσπασον ἐφεξῆς ἅπαντας.

247. Ἑρμ. Ἄτοπον ἂν δόξειε τὸ τοιοῦτον.

Πλούτ. Οὐ μὲν οὖν, ἀλλὰ δικαιότατον · τί γὰρ ἐκεῖνοι παθόντες [1] εὔχονται ἀποθανεῖν ἐκεῖνον, ἢ τῶν χρημάτων ἀντιποιοῦνται [2], οὐδὲν προσήκοντες [3]; ὃ δὲ πάντων [4] ἐστὶ μιαρώτατον, ὅτι, καὶ τὰ τοιαῦτα εὐχόμενοι, ὅμως θεραπεύουσιν ἔν γε τῷ φανερῷ [5], καὶ νοσοῦντος [6], ἃ μὲν βούλονται, πᾶσι πρόδηλα · θύσειν δὲ ὅμως ὑπισχνοῦνται, ἢν ῥᾳΐσῃ· καὶ ὅλως ποικίλη τις [7] ἡ κολακεία τῶν ἀνδρῶν. Διὰ ταῦτα ὁ μὲν ἔστω ἀθάνατος, οἱ δὲ προαπίτωσαν [8] αὐτοῦ, μάτην ἐπιχανόντες [9].

248. Ἑρμ. Γελοῖα πείσονται [1], πανοῦργοι ὄντες · πολλὰ κἀκεῖνος εὖ μάλα διαβουκολεῖ αὐτοὺς καὶ ἐλπίζει, καὶ ὅλως ἀεὶ θανόντι ἐοικώς, ἔῤῥωται [2] πολὺ μᾶλλον τῶν νέων. Οἱ δὲ ἤδη τὸν κλῆρον ἐν σφίσι [3] διῃρημένοι βόσκονται, ζωὴν μακαρίαν πρὸς ἑαυτοὺς τιθέντες [4].

249. Πλούτ. Οὐκοῦν ὁ μὲν ἀποδυσάμενος τὸ γῆρας, ὥσπερ Ἰόλεως [1] ἀνηβησάτω · οἱ δὲ ἀπὸ μέσων τῶν ἐλπίδων, τὸν ὀνειροπολη-θέντα πλοῦτον ἀπολιπόντες, ἡκέτωσαν [2] ἤδη κακοὶ κακῶς ἀποθανόντες.

Ἑρμ. Ἀμέλησον, ὦ Πλούτων · μετελεύσομαι [3] γάρ σοι ἤδη αὐτοὺς καθ' ἕνα ἑξῆς [4] · ἑπτὰ δέ, οἶμαι, εἰσί.

Πλούτ. Κατάσπα · ὁ δὲ [5] παραπέμψει ἕκαστον, ἀντὶ γέροντος αὖθις πρωθήβης γενόμενος.

---

247. [1] τί παθόντες; ¿qué cosa habiendo sufrido desean...? i. e., ¿qué han sufrido para desear...?

[2] ἀντιποιοῦνται. Rige genitivo por su preposición ἀντί.

[3] οὐδὲν προσήκοντες, se sobreentiende αὐτῷ. Lit.: no conviniendo en nada con él; es decir, no siendo en nada parientes.

[4] ὃ δὲ πάντων... ὅτι, pero esto. que... El pronombre relativo tiene aquí valor de demostrativo.

[5] τῷ φανερῷ, en apariencias, o en público.

[6] νοσοῦντος, se sobreentiende αὐτοῦ, estando enfermo.

[7] ποικίλη τις. La frase completa sería: ἡ κολακεία τῶν ἀνδρῶν ἐστι ποικίλη τις κολακεία, la zalamería de estos hombres es una zalamería muy variada (que toma muchas formas).

[8] προαπίτωσαν, 3.ª pers. de imperativo de προάπειμι, marchar delante. Rige genitivo.

[9] ἐπιχανόντες, de ἐπιχαίνω, estar ansioso.

248. [1] πείσονται, no viene de πείθω, sino de πάσχω.

[2] ἔῤῥωται, de ῥώννυμι, fortalecer.

[3] ἐν σφίσι, en sí mismos, en su pensamiento.

[4] πρὸς ἑαυτοὺς τιθέντες, poniendo delante de sí.

249. [1] Ἰόλεως, forma ática por Ἰόλαος. Era hijo de Ifidos, el cual, después de una larga vejez, fue transformado en un joven.

[2] ἡκέτωσαν, imperativo de ἥκω.

[3] μετελεύσομαι, de μετέρχομαι.

[4] καθ' ἕνα ἑξῆς, uno a uno, uno después de otro; κατά con acusativo tiene sentido distributivo.

[5] ὁ δὲ, y éste (el viejo).

Platón

PLATÓN

I. **Platón.**—*Nació en Atenas, el 428, de una de las más ilustres familias. A los ventiún años se hizo discípulo de Sócrates, hasta la muerte de éste, que acaeció ocho años después. Recorrió la mayor parte del mundo griego. Vuelto a Atenas, abrió la célebre Academia, donde exponía sus doctrinas por preguntas y respuestas, según el sistema socrático. Murió el 347.*

Ha sido llamado, con razón, incomparable artista de la prosa griega.

II. **Sócrates** *nació en Atenas hacia el 470. Luchó en la guerra del Peloponeso y en el 406 tuvo la presidencia de la Asamblea. Su vida fue enseñar la Filosofía con el fin eminentemente práctico a todas clases de personas.*

En el 399 le acusaron ante el Tribunal de los Heliastas de no reconocer los dioses del Estado, de introducir nuevas divinidades y de corromper a la juventud. Fue condenado injustamente a muerte, ejecutándose ésta bebiendo Sócrates la cicuta rodeado de sus discípulos.

III. **Fedón.**—*En este diálogo se presenta al viejo Sócrates en la cárcel, hablando con sus discípulos en una larga discusión sobre la inmortalidad del alma. Al final del diálogo nos cuenta la muerte del filósofo. Platón no asistió a ella; se lo impidió una enfermedad.*

Platón pone todo este diálogo en boca de Fedón, en el que informa a Equécrates sobre la muerte de Sócrates. (1)

(1) Es muy conveniente que el alumno ya se vaya acostumbrado a manejar el Diccionario griego-español. Por eso, no se han puesto las palabras que salen en los trozos de Platón y Demóstenes en el vocabulario final de este libro.

MUERTE DE SÓCRATES

Últimos consejos

250. LXIV. Ταῦτα δὴ εἰποντος αὐτοῦ [1], ὁ Κρίτων· «Εἶεν, ἔφη, ὦ Σώκρατες· τί δὲ τούτοις ἢ ἐπιστέλλει ἢ περὶ τῶν παίδων ἢ περὶ ἄλλου τοῦ [2], ὅ τι ἄν [3] σοι ποιοῦντες ἡμεῖς ἐν χάριτι μάλιστα ποιοῖμεν;»—«Ἅπερ ἀεὶ λέγω, ἔφη, ὦ Κρίτων, οὐδὲν καινότερον· ὅτι ὑμῶν [4] αὐτῶν ἐπιμελούμενοι ὑμεῖς καὶ ἐμοὶ καὶ τοῖς ἐμοῖς καὶ ὑμῖν αὐτοῖς ἐν χάριτι ποιήσετε ἅττ' ἂν ποιῆτε, κἂν μὴ νῦν ὁμολογήσητε· ἐὰν δὲ ὑμῶν μὲν αὐτῶν ἀμελῆτε καὶ μὴ θέλητε ὥσπερ [5] κατ' ἴχνη κατὰ τὰ νῦν τε εἰρημένα καὶ τὰ ἐν τῷ ἔμπροσθεν χρόνῳ ζῆν, οὐδὲ ἐὰν πολλὰ ὁμολογήσητε ἐν τῷ παρόντι καὶ σφόδρα, οὐδεν πλέον ποιήσετε.»

¿Cómo te vamos a enterrar?

251. «Ταῦτα μὲν τοίνυν προθυμηθησόμεθα, ἔφη, οὕτω ποιεῖν· θάπτωμεν δὲ σε τίνα τρόπον [1];» — «Ὅπως ἄν, ἔφη, βούλησθε, ἐάνπερ γε λάβητέ με καὶ μὴ ἐκφύγω ὑμᾶς.» Γελάσας δὲ ἅμα ἡσυχῇ καὶ πρὸς ἡμᾶς ἀποβλέψας εἶπεν. «Οὐ πείθω, ὦ ἄνδρες, Κρίτωνα, ὡς ἐγώ εἰμι οὗτος ὁ Σωκράτης, ὁ νυνὶ διαλεγόμενος καὶ διατάττων ἕκαστον τῶν λεγομένων, ἀλλ' οἴεταί με ἐκεῖνον εἶναι, ὃν ὄψεται ὀλίγον ὕστερον νεκρόν, καὶ ἐρωτᾷ δή, πῶς με θάπτῃ. Ὅτι δὲ [2] ἐγὼ πάλαι πολὺν λόγον πεποίημαι, ὡς, ἐπειδὰν πίω τὸ φάρμακον, οὐκέτι ὑμῖν παραμενῶ, ἀλλ' οἰχήσομαι ἀπιὼν εἰς μακάρων δή τινας εὐδαιμονίας, ταῦτά μοι δοκῶ αὐτῷ ἄλλως λέγειν, παραμυθούμενος ἅμα μὲν ὑμᾶς, ἅμα δ' ἐμαυτόν.

252. Ἐγγυήσασθε [1] οὖν με πρὸς Κρίτωνα, ἔφη, τὴν ἐναντίαν ἐγγύην ἢ ἣν οὗτος πρὸς τοὺς δικαστὰς ἠγγυᾶτο. Οὗτος [2] μὲν γὰρ ἢ μὴν παραμενεῖν· ὑμεῖς δὲ ἢ μὴν μὴ παραμενεῖν ἐγγυήσασθε, ἐπειδὰν ἀποθάνω,

---

250. [1] αὐτοῦ, Sócrates.

[2] τοῦ = τινός.

[3] ὅ τι, el cual haciéndolo, te daríamos más gusto.— ἄν se refiere a ποιοῖμεν; es una oración potencial.

[4] ὅτι ὑμῶν, que si os cuidáis de vosotros mismos, daréis gusto... con cuantas cosas hagáis. Ἐπιμελέω pide genitivo.

[5] μὴ θέλητε ζῆν.— ὥσπερ.... como quien sigue unas huellas según las cosas dichas ahora y en tiempo anterior.

251. [1] τίνα τρόπον, de qué manera. Gr. n.° 278.

[2] ὅτι δὲ, y lo que yo otras veces por largo tiempo he estado explicando. ἔπειδαν πίω, orac. temporal de fut. que va en subjuntivo con ἀν. (Gr. n.° 324).

[3] ταῦτα, me parece a mi que yo estas cosas las he dicho tontamente.— ἄλλως, de otros modo, tontamente.

252. [1] Εγγυήσασθε, Fiadme ante Critón (con) una fianza distinta que la que él me fiaba.

[2] Οὗτος. Critón salía como fiador de que Sócrates se estaría sin salir, en el sitio que se le destinara para libertad condicional.

ἀλλὰ οἰχήσεσθαι ἀπιόντα, ἵνα Κρίτων [3] ῥᾷον φέρῃ, καὶ μὴ ὁρῶν μου τὸ σῶμα ἢ καιόμενον ἢ κατορυττόμενον ἀγανακτῇ ὑπὲρ ἐμοῦ, ὡς δεινὰ



Reconstrucción de la Acrópolis de Atenas

πάσχοντος, μηδὲ λέγῃ ἐν τῇ ταφῇ, ὡς ἢ προτίθεται Σωκράτη ἢ ἐκφέρει ἢ κατορύττει.

253. Εὖ γὰρ [1] ἴσθι, ἦ δ' ὅς, ὦ ἄριστε Κρίτων, τὸ μὴ καλῶς λέγειν οὐ μόνον εἰς αὐτὸ τοῦτο πλημμελές, ἀλλὰ καὶ κακόν τι ἐμποιεῖ ταῖς ψυχαῖς. Ἀλλὰ θαρρεῖν τε χρὴ καὶ φάναι τοὐμόν [2] σῶμα θάπτειν, καὶ θάπτειν οὕτως, ὅπως ἄν σοι φίλον ᾖ καὶ μάλιστα ἡγῇ νόμιμον εἶναι.»

Se baña y se despide de sus familiares

254. LXX. Ταῦτ' εἰπὼν ἐκεῖνος μὲν ἀνίστατο εἰς οἴκημά τι ὡς [1] λουσόμενος [1], καὶ ὁ Κρίτων εἵπετο αὐτῷ, ἡμᾶς δ' ἐκέλευε περιμένειν. Περιεμένομεν οὖν πρὸς ἡμᾶς [2] αὐτοὺς διαλεγόμενοι περὶ τῶν εἰρημένων καὶ ἀνασκοποῦντες, τότε δ' αὖ περὶ τῆς ξυμφορᾶς διεξιόντες [3], ὅση ἡμῖν γεγονυῖα εἴη, ἀτεχνῶς ἡγούμενοι ὥσπερ πατρὸς στερηθέντες διάξειν ὀρφανοὶ τὸν ἔπειτα βίον.

255. Ἐπειδὴ δὲ ἐλούσατο καὶ ἠνέχθη [1] παρ' αὐτὸν τὰ παιδία — δύο γὰρ αὐτῷ υἱεῖς σμικροὶ ἦσαν, εἷς δὲ μέγας — καὶ αἱ οἰκεῖαι γυναῖκες

---

[3] ἵνα Κρίτων, para que Critón mejor lo sufra. — μὴ va con ἀγανακτῇ. — ἀγανακτῇ y λέγῃ son oraciones finales dependiendo de la partícula ἵνα.

253. [1] Εὖ γὰρ. Pues sábete bien, dijo éste, oh Critón. — ἴσθι imperativo de οἶδα.. — ἦ dijo.

[2] Τοὐμὸν i. e., τὸ ἐμὸν. — ὅπως, como sea para ti más deseoso, como te plazca.

254. [1] ὡς λουσόμενος para bañarse. Part. de fut. con sentido final.

[2] πρὸς ἡμᾶς, entre nosotros mismos.

[3] τότε entonces también recorrimos en nuestra conversación (hablamos) acerca de. — διεξιόντες de δι-έξ-ειμι.

255. [1] ἠνέχθη es aor. pas. de φέρω.

ἀφίκοντο, ἐκείναις ἐναντίον τοῦ Κρίτωνος [2] διαλεχθείς τε καὶ ἐπιστείλας ἅττα ἐβούλετο, τὰς μὲν γυναῖκας καὶ τὰ παιδία ἀπιέναι ἐκέλευσεν, αὐτὸς δὲ ἦκε παρ' ἡμᾶς.

Le traen la orden de envenenarse

256. Καὶ ἦν ἤδη ἐγγὺς ἡλίου δυσμῶν· χρόνον γὰρ πολὺν διέτριψεν ἔνδον. Ἐλθὼν δ' ἐκαθέζετο λελουμένος, καὶ οὐ πολλὰ μετὰ ταῦτα διελέχθη, καὶ ἦκεν ὁ τῶν ἑνδεκα [1] ὑπηρέτης καὶ στὰς παρ' αὐτόν· «Ὦ Σώκρατες, ἔφη, οὐ καταγνώσομαι σοῦ, ὅπερ ἄλλων καταγιγνώσκω, ὅτι μοι χαλεπαίνουσι καὶ καταρῶνται, ἐπειδὰν αὐτοῖς παραγγέλλω πίνειν τὸ φάρμακον, ἀναγκαζόντων τῶν ἀρχόντων· [2] σὲ δὲ ἐγὼ καὶ ἄλλως ἔγνωκα ἐν τούτῳ χρόνῳ γενναιότατον καὶ πραότατον καὶ ἄριστον ἄνδρα ὄντα τῶν πώποτε δεῦρο ἀφικομένων, καὶ δὴ καὶ νῦν εὖ οἶδ' ὅτι οὐκ ἐμοὶ χαλεπαίνεις, γιγνώσκεις γὰρ τοὺς αἰτίους, ἀλλὰ ἐκείνους. Νῦν οὖν [3], οἶσθα γὰρ ἃ ἦλθον ἀγγέλλων, χαῖρέ τε καὶ πειρῶ ὡς ῥᾷστα [4] φέρειν τὰ ἀναγκαῖα».

257. Καὶ ἅμα δακρύσας μεταστρεφόμενος ἀπῄει. Καὶ ὁ Σωκράτης ἀναβλέψας πρὸς αὐτόν. «Καὶ σύ, ἔφη, χαῖρε, καὶ ἡμεῖς ταῦτα ποιήσομεν». Καὶ ἅμα πρὸς ἡμᾶς. «Ὡς ἀστεῖος, ἔφη, ὁ ἄνθρωπος· καὶ παρὰ [1] πάντα μοι τὸν χρόνον προσῄει καὶ διελέγετο ἐνίοτε καὶ ἦν ἀνδρῶν λῷστος, καὶ νῦν ὡς γενναίως με ἀποδακρύει. Ἀλλ' ἄγε δή, ὦ Κρίτων, πειθώμεθα αὐτῷ, καὶ ἐνεγκάτω τις τὸ φάρμακον, εἰ τέτριπται· εἰ δὲ μή, τριψάτω ὁ ἄνθρωπος.»

258. Καὶ ὁ Κρίτων. «Ἀλλ' οἶμαι, ἔφη, ἔγωγε, ὦ Σώκρατες, ἔτι ἥλιον [1] εἶναι ἐπὶ τοῖς ὄρεσιν καὶ οὔπω δεδυκέναι. Καὶ ἅμα ἐγὼ οἶδα καὶ ἄλλους πάνυ ὀψὲ πίνοντας, ἐπειδὰν [2] παραγγελθῇ αὐτοῖς, δειπνήσαντάς τε καὶ πιόντας εὖ μάλα. Ἀλλὰ μηδὲν ἐπείγου· ἔτι γὰρ ἐγχωρεῖ.»

259. Καὶ ὁ Σωκράτης· «Εἰκότως γε, ἔφη, ὦ Κρίτων, ἐκεῖνοί τε ταῦτα ποιοῦσιν, οὓς σὺ λέγεις, οἴονται γὰρ κερδαίνειν ταῦτα ποιήσαντες, καὶ ἔγωγε ταῦτα εἰκότως οὐ ποιήσω· οὐδὲν γάρ οἶμαι κερδαίνειν ὀλίγον

---

2 ἐναντίον τοῦ Κρίτωνος..., conservando con ellas en presencia de Critón.—διαλεχθείς de διαλέγομαι.

256. 1 ὁ τῶν ἕνδεκα, el criado de los Once. Los Once magistrados de justicia encargados de la dirección de las prisiones y de la ejecución de las sentencias capitales.

2 ἀναγκαζόντων τῶν ἀρχόντων, obligándome a ello los que mandan.

3 Νῦν οὖν. Ahora ya sabes lo que vengo a anunciarte.

4 ὡς ῥᾷστα, sobrellevar lo mejor posible.— ὡς refuerza al superlativo.

257. 1 παρὰ πάντα, durante todo este tiempo venía a visitarme.

258. 1 ἔτι ἥλιον, que aun el sol está sobre los montes y no está puesto (sumergido).

2 ἐπειδὰν..., después de habérseles mandado.

ὕστερον πιὼν ἄλλο [1] γε ἢ γέλωτα ὀφλήσειν παρ' ἐμαυτῷ, γλιχόμενος τοῦ ζῆν καὶ φειδόμενος οὐδενὸς ἔτι ἐνόντος. Ἀλλ' ἴθι, ἔφη, πιθοῦ καὶ μὴ ἄλλως ποίει.»

Le traen el veneno

260. LXVI. Καὶ ὁ Κρίτων ἀκούσας ἔνευσε τῷ παιδὶ πλησίον ἑστῶτι [1]. Καὶ ὁ παῖς ἐξελθὼν καὶ συχνὸν χρόνον διατρίψας ἦκεν ἄγων τὸν μέλλοντα διδόναι τὸ φάρμακον, ἐν κύλικι φέροντα τετριμμένον. Ἰδὼν δὲ ὁ Σωκράτης τὸν ἄνθρωπον· «Εἶεν, ἔφη, ὦ βέλτιστε, σὺ γὰρ τούτων ἐπιστήμων, τί χρὴ ποιεῖν;» — «Οὐδὲν ἄλλο, ἔφη; ἢ πιόντα περιιέναι, ἕως ἄν σου βάρος ἐν τοῖς σκέλεσι γένηται, ἔπειτα κατακεῖσθαι· καὶ οὕτως αὐτὸ ποιήσει.»

261. Καὶ ἅμα ὥρεξε τὴν κύλικα τῷ Σωκράτει· καὶ ὃς [1] λαβὼν καὶ μάλα ἵλεως, ὦ Ἐχέκρατες, οὐδὲν τρέσας οὐδὲ διαφθείρας οὔτε τοῦ χρώματος οὔτε τοῦ προσώπου. ἀλλ', ὥσπερ εἰώθει, ταυρηδὸν ὑποβλέψας πρὸς τὸν ἄνθρωπον. «Τί λέγεις, ἔφη, περὶ τοῦδε τοῦ πώματος πρὸς τὸ ἀποσπεῖσαί τινι; ἔξεστιν ἢ οὔ;» — «Τοσοῦτον, ἔφη, ὦ Σωκρατες, τρίβομεν, ὅσον οἰόμεθα μέτριον εἶναι πιεῖν.» — «Μανθάνω, ἦ δ' ὅς· ἀλλ' εὔχεσθαί γέ που τοῖς θεοῖς ἔξεστί τε καὶ χρή, τὴν μετοίκησιν τὴν ἐνθένδε ἐκεῖσε εὐτυχῆ γενέσθαι· ἃ δὴ καὶ ἐγὼ εὔχομαί τε καὶ γένοιτο ταύτῃ.» Καὶ ἅμ' εἰπὼν ταῦτα ἐπισχόμενος [5] καὶ μάλα εὐχερῶς καὶ εὐκόλως ἐξέπιεν.



Las cariatidas

Bebe el veneno

262. Καὶ ἡμῶν οἱ πολλοὶ τέως μὲν ἐπιεικῶς οἷοί τε ἦσαν [1] κατέχειν τὸ μὴ δακρύειν, ὡς δὲ εἴδομεν πίνοντά τε καὶ πεπωκότα, οὐκέτι, ἀλλ' ἐμοῦ γε βίᾳ [2] καὶ αὐτοῦ ἀστακτὶ ἐχώρει τὰ δάκρυα, ὥστε ἐγκαλυψάμενος ἀπέκλαιον ἐμαυτόν, οὐ γὰρ δὴ ἐκεῖνόν γε, ἀλλὰ τὴν ἐμαυτοῦ τύχην, οἷου ἀνδρὸς ἑταίρου ἑστερημένος εἴην. Ὁ δὲ Κρίτων ἔτι πρότερος ἐμοῦ, ἐπειδὴ οὐχ οἷός τ' ἦν κατέχειν τὰ δάκρυα, ἐξανέστη [4].

---

259. [1] ἄλλο γε, no ganaré... otra cosa que hacerme digno de risa ante mi mismo.

260. [1] ἑστῶτι, que se hallaba cerca. — ἑστῶτι part. de parf. de ἵστημι.

261. [1] ὅς, este. Aquí tiene su primitivo oficio de pronombre demostrativo.

262. [1] οἷοι ἦσαν, habíamos sido capaces de contener el llanto.

[2] ἀλλ' ἐμοῦ βίᾳ, a pesar de mi mismo.

263. Ἀπολλόδωρος δὲ καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ οὐδὲν ἐπαύετο δακρύων [1], καὶ δὴ καὶ τότε ἀναβρυχησάμενος κλαίων καὶ ἀγανακτῶν οὐδένα [2] ὄντινα οὐ κατέκλασε τῶν παρόντων πλήν γε αὐτοῦ Σωκράτους. Ἐκεῖνος δέ· «Οἷα, ἔφη, ποιεῖτε, ὦ θαυμάσιοι. Ἐγὼ μέντοι οὐχ ἥκιστα τούτου ἕνεκα τὰς γυναῖκας ἀπέπεμψα, ἵνα μὴ τοιαῦτα πλημμελοῖεν. καὶ γὰρ ἀκήκοα ὅτι ἐν εὐφημίᾳ χρὴ τελευτᾶν. Ἀλλ' ἡσυχίαν τε ἄγετε καὶ καρτερεῖτε.» Καὶ ἡμεῖς ἀκούσοντες ἠσχύνθημέν τε καὶ ἐπέσχομεν τοῦ δακρύειν.

Muerte de Sócrates

264. Ὁ δὲ περιελθών, ἐπειδὴ οἱ βαρύνεσθαι ἔφη τὰ σκέλη, κατεκλίθη ὕπτιος· οὕτω γὰρ ἐκέλευεν ὁ ἄνθρωπος· καὶ ἅμα ἐφαπτόμενος αὐτοῦ οὗτος ὁ δοὺς τὸ φάρμακον [1], διαλιπὼν χρόνον ἐπεσκόπει [2] τοὺς πόδας καὶ τὰ σκέλη, κἄπειτα [3] σφόδρα πιέσας αὐτοῦ τὸν πόδα ἤρετο εἰ αἰσθάνοιτο· ὁ δ' οὐκ ἔφη· καὶ μετὰ τοῦτο αὖθις τὰς κνήμας· [4] καὶ ἐπανιὼν οὕτως ἡμῖν ἐπεδείκνυτο ὅτι ψύχοιτό τε καὶ πηγνῦτο. Καὶ αὐτὸς ἥπτετο καὶ εἶπεν ὅτι, ἐπειδὰν πρὸς τῇ καρδίᾳ γένηται αὐτῷ, τότε οἰχήσεται.

265. Ἤδη οὖν σχεδόν τι αὐτοῦ ἦν τὰ περὶ τὸ ἦτρον ψυχόμενα, καὶ ἐκκαλυψάμενος—ἐνεκεκάλυπτο γὰρ—εἶπεν, ὃ δὴ τελευταῖον ἐφθέγξατο· [1] «Ὦ Κρίτων, ἔφη, τῷ Ἀσκληπιῷ ὀφείλομεν ἀλεκτρυόνα· ἀλλὰ ἀπόδοτε καὶ μὴ ἀμελήσητε.» — Ἀλλὰ ταῦτα, ἔφη, ἔσται, ὁ Κρίτων· ἀλλ' ὅρα εἴ τι ἄλλο λέγεις.» Ταῦτα ἐρομένου αὐτοῦ οὐδὲν ἔτι ἀπεκρίνατο, ἀλλ' ὀλίγον χρόνον διαλιπὼν ἐκινήθη τε καὶ ὁ ἄνθρωπος ἐξεκάλυψεν αὐτόν, καὶ ὃς τὰ ὄμματα ἔστησεν· ἰδὼν δὲ ὁ Κρίτων συνέλαβε τὸ στόμα τοὺς ὀφθαλμούς.

266. LXVII. Ἥδε ἡ τελευτή, ὦ Ἐχέκρατες, τοῦ ἑταίρου [1] ἡμῖν ἐγένετο, ἀνδρός, ὡς ἡμεῖς φαῖμεν ἄν, τῶν τότε, ὧν ἐπειράθημεν, ἀρίστου καὶ ἄλλως φρονιμωτάτου καὶ δικαιοτάτου.

---

263. 1 δακρύων, no cesaba de llorar. (Part. compl. Gr. n.° 348).

264. 1 φάρμακον, éste, el que le dio el veneno.
2 ἐπεσκόμει, dejando pasar algo de tiempo le examinaba los pies.
3 κἄπειτα = καὶ ἔπειτα.
4 τὰς κνήμας, después de esto también (le tocó) las piernas.

265. 1 ἐφθέγξατο, dijo lo último que pronunció.

266. 1 τοῦ ἑταίρου, del amigo.



Trirreme

DEMÓSTENES

Vida. *Demóstenes nació el 384 (a. de C.) en Atenas. Sus tutores le robaron la hacienda. Cuando llegó a mayor de edad quiso recobrarla. Durante tres años luchó en los tribunales, derrotó tres veces a sus antiguos tutores. Le dieron la razón los jueces, pero muy poco dinero pudo recobrar de sus antiguos bienes.*

Se decidió a logógrafo y maestro de elocuencia. A los treinta años se lanzó de lleno a la política y en esta fecha pronunció su primera Filípica. Desde entonces durante más de diez años (351-338) dirige la política ateniense opuesta a Filipo de Macedonia. En este período pronuncia sus siete famosas Filípicas, arenga al pueblo, propone tratados, realiza alianzas, administra las construcciones navales, restaura las murallas de la ciudad. Hasta que en el 338 en Queronea fueron vencidos Atenas y Tebas por Filipo. Con lo que queda toda Grecia bajo Filipo y después bajo su hijo Alejandro.

Mas tarde fue desterrado de Atenas. Muerto Alejandro vuelve Demóstenes a Atenas y dirige la rebelión contra Antípatro; también fracasó en este intento. Huyó Demóstenes, pero perseguido y cercado por los soldados de Antípatro se envenenó. Era el año 322.

La Tercera Filípica. *En el año 341 Filipo oficialmente está en paz con Atenas; pero va atrayéndose o apoderándose de posiciones claves en Tracia, en el Quersoneso, en Eubea y acercándose con ello a Atenas.*

Demóstenes en esta Tercera Filípica ataca a Filipo, descubre sus maniobras y propone que Atenas se prepare a una guerra y busque aliados para que cuando abiertamente ataque Filipo, se encuentren preparados.

A pesar de los esfuerzos de Demóstenes y de los preparativos y alianzas hechas fueron vencidos por Filipo en la batalla de Queronea.

TERCERA FILÍPICA

EXORDIO

Situación gravísima. Sus causas

267. 1 Πολλῶν, ὦ ἄνδρες Ἀθηναῖοι, λόγων γιγνομένων (ὀλίγου δεῖν καθ' ἑκάστην ἐκκλησίαν [1]) περὶ ὧν [2] Φίλιππος, ἀφ' οὗ τὴν εἰρήνην ἐποιήσατο, οὐ μόνον ὑμᾶς ἀλλὰ καὶ τοὺς ἄλλους ἀδικεῖ, καὶ πάντων (οἶδ' ὅτι) [3] φησάντων [4] γ' ἄν, εἰ καὶ μὴ ποιοῦσι τοῦτο, καὶ λέγειν δεῖν καὶ πράττειν ὅπως ἐκεῖνος παύσεται τῆς ὕβρεως καὶ δίκην δώσει, εἰς τοῦτο [5] ὑπηγμένα πάντα τὰ πράγματα καὶ προειμένα ὁρῶ, ὥστε δέδοικα [6] μὴ βλάσφημον μὲν εἰπεῖν, ἀληθὲς δέ· εἰ καὶ [7] λέγειν ἅπαντες ἐβούλοντο οἱ παριόντες καὶ χειροτονεῖν ὑμεῖς ἐξ ὧν ὡς φαυλότατα ἔμελλε τὰ πράγματα ἕξειν, οὐκ ἂν ἡγοῦμαι δύνασθαι χεῖρον ἢ νῦν διατεθῆναι.

268. 2 Πολλὰ μὲν οὖν ἴσως ἐστὶν [1] αἴτια τούτων, καὶ οὐ παρ' ἓν οὐδὲ δύο εἰς τοῦτο τὰ πράγματ' ἀφῖκται, μάλιστα δ' [2], ἅνπερ ἐξετάζητε ὀρθῶς, εὑρήσετε διὰ τοὺς χαρίζεσθαι μᾶλλον ἢ τὰ βέλτιστα λέγειν προαιρουμένους· ὧν [3] τινες μέν, ὦ ἄνδρες Ἀθηναῖοι, ἐν οἷς εὐδοκιμοῦσιν αὐτοὶ καὶ δύνανται, ταῦτα φυλάττοντες, οὐδεμίαν περὶ τῶν μελλόντων πρόνοιαν ἔχουσιν, οὐκοῦν οὐδ' ὑμᾶς οἴονται δεῖν ἔχειν, ἕτεροι [4] δὲ τοὺς

---

267. [1] ἐκκλησίαν, asamblea.

[2] περὶ ὧν, acerca de aquellas cosas que Filipo.

[3] (οἶδ' ὅτι), yo ya lo sé. Es un paréntesis que equivale a: es evidente.

[4] φησάντων ἄν, y todos estando dispuestos a decir. Equivale a πάντες φησαίην ἄν.

[5] εἰς τοῦτο, y veo todos los asuntos hundidos y abandonados hasta tal punto (εἰς τουτο).— ὑπηγμένα de ὑπάγω.—προειμένα de προίημι.

[6] ὥστε δέδυικα... que (Gr. n.° 316) temo que (Gr. n.° 306) diga una cosa de mal augurio pero verdadera.

[7] εἰ καὶ, aunque todos los oradores quisieran decir y vosotros (quisierais) votar tales cosas de entre las peores, pienso que no se podía haber dispuesto cosa peor que la presente. εἰ καὶ ἐβούλοντο, es concesiva irreal cuya inmediata principal es ἂν δύνασθαι. Esta es una completiva irreal.—παρίοντες (de παρίεναι) los oradores, los que se presentan en la tribuna.—ἐξ ὧν, se sobreentiende τοιαῦτα πράγματα ἐξ ὧν.—ὡς, refuerza el superlativo φαυλότατα Gr. n.° 224).— ἔχω con predicado significa *ser*.

268. [1] ἐστὶν, el verbo en singular con sujeto y predicado neutros en plural (Gr. n.° 209).

[2] μάλιστα δε, pero sobre todo si es que... por lo que prefieren agradar.

[3] ὧν..., de los cuales unos... procurando conservar aquellas cosas por las que son estimados y tienen influencias.

[4] ἕτεροι, los otros (oradores), acusando y atacando a los que están al frente de los negocios públicos, no procuran otra cosa que (Gr. n.° 308) la ciudad tome venganza de sí misma (de sus conciudadanos) y de que se ocupe solo en esto, con ello es posible... — εἶναι περὶ τι, ocuparse en una cosa.

ἐπὶ τοῖς πράγμασιν ὄντας αἰτιώμενοι καὶ διαβάλλοντες οὐδὲν ἄλλο ποιοῦσιν ἢ ὅπως ἡ μὲν πόλις παρ' αὐτῆς δίκην λήψεται καὶ περὶ τοῦτ' ἔσται, Φιλίππῳ δ' ἐξέσται καὶ λέγειν καὶ πράττειν ὅ τι βούλεται. Αἱ δὲ τοιαῦται πολιτεῖαι συνήθεις μέν εἰσιν ὑμῖν, αἴτιαι δὲ τῶν κακῶν.

269. 3 Ἀξιῶ δ', ὦ ἄνδρες Ἀθηναῖοι, ἄν τι [1] τῶν ἀληθῶν μετὰ παρρησίας λέγω, μηδεμίαν μοι διὰ τοῦτο παρ' ὑμῶν ὀργὴν γενέσθαι.



Plano de Atenas

Σκοπεῖτε γὰρ ὠδί. Ὑμεῖς [2] τὴν παρρησίαν ἐπὶ μὲν τῶν ἄλλων οὕτω κοινὴν οἴεσθε δεῖν εἶναι πᾶσι τοῖς ἐν τῇ πόλει, ὥστε καὶ τοῖς ξένοις καὶ τοῖς δούλοις αὐτῆς [3] μεταδεδώκετε, καὶ πολλοὺς ἄν τις [4] οἰκέτας ἴδοι

269. [1] ἄν τι... λέγω, si digo... Es una condicional de futuro y el verbo está en subjuntivo (Gr. n.° 324).

[2] Ὑμεῖς, vosotros juzgáis que es necesario que la libertad de palabra para los demás asuntos sea de tal suerte común para todos los que viven en la ciudad.

[3] αὐτῆς i. e., παρρησίας. (Gr. n.° 251, d).

[4] ἄν τις..., y cualquiera puede ver (Gr. n.° 286) que muchos criados entre vosotros hablan (Gr. n.° 298) con más libertad que los ciudadanos en algunas ciudades de otros países.

παρ' ὑμῖν μετὰ πλείονος ἐξουσίας ὅ τι βούλονται λέγοντας ἢ πολίτας ἐν ἑνίαις τῶν ἄλλων πόλεων, ἐκ δὲ τοῦ συμβουλεύειν παντάπασιν ἐξεληλάκατε [5].

Proposición

Si queréis aún podéis

270. 4 Εἶθ' [1] ὑμῖν συμβέβηκεν ἐκ τούτου ἐν μὲν ταῖς ἐκκλησίαις τρυφᾶν καὶ κολακεύεσθαι πάντα πρὸς ἡδονὴν ἀκούουσιν, ἐν δὲ τοῖς πράγμασι καὶ τοῖς γιγνομένοις περὶ τῶν ἐσχάτων ἤδη κινδυνεύειν. Εἰ μὲν οὖν καὶ νῦν οὕτω διάκεισθε, οὐκ ἔχω τί λέγω· [2] εἰ δ' ἃ συμφέρει χωρὶς κολακείας ἐθελήσετ' ἀκούειν, ἕτοιμος [3] λέγειν. Καὶ γὰρ εἰ [4] πάνυ φαύλως τὰ πράγματ' ἔχει καὶ πολλὰ προεῖται, ὅμως ἔστιν, ἐὰν ὑμεῖς τὰ δέοντα ποιεῖν βούλησθε, ἔτι πάντα ταῦτ' ἐπανορθώσασθαι.

271. 5 Καὶ παράδοξον μὲν ἴσως ἐστὶν ὃ μέλλω λέγειν, ἀληθὲς δέ· τὸ χείριστον [1] ἐν τοῖς παρεληλυθόσι, τοῦτο πρὸς τὰ μέλλοντα βέλτιστον ὑπάρχει. Τί οὖν ἐστὶ τοῦτο; ὅτι οὔτε μικρὸν οὔτε μέγα οὐδὲν τῶν δεόντων ποιούντων ὑμῶν [2], κακῶς τὰ πράγματ' ἔχει, ἐπεί τοι, εἰ πάντα ἃ προσῆκε πραττόντων οὕτω διέκειτο, οὐδ' ἂν ἐλπὶς ἦν αὐτὰ γενέσθαι βελτίω. Νῦν δὲ τῆς ῥᾳθυμίας τῆς ὑμετέρας καὶ τῆς ἀμελείας κεκράτηκε Φίλιππος, τῆς πόλεως δ' οὐ κεκράτηκεν· οὐδ' ἥττησθε [3] ὑμεῖς, ἀλλ' οὐδὲ κεκίνησθε.

---

5 ἐξεληλάκατε (de ἐξελαύνω), y sin embargo vosotros lo excluís de esta deliberación (o Consejo de Estado).

270. 1 Εἶθ' (εἶτα), y así ha sucedido por esto a vosotros (Gr. n.° 238, 3) en las asambleas, el deleitarse y ser adulados escuchando todas estas cosas por placer, pero también el estar ya en peligro muy grande en los asuntos públicos y en las realidades.—ἀκούουσιν, es dativo del part. de pres. y concierta con ὑμῖν.

2 ...λέγω, no tengo nada que decir. No tengo qué diga.

3 ἕτοιμος, estoy dispuesto a hablaros.

4 Καὶ γὰρ εἰ, pues aunque los asuntos están muy mal y muchos están descuidados, sin embargo es posible, si vosotros queréis (Gr. n.° 324) hacer las cosas necesarias, el corregir enseguida todas estas cosas.— ἔχω equivale a εἰμί.—προεῖται de προίημι.

271. 1 τὸ χείριστον, lo peor en las cosas que han pasado.—παρεληλυθόσι de παρέρχομαι, pasar.

2 ὑμῶν, porque no habiendo hecho vosotros ni poco ni mucho, nada de lo que se debía.

3 οὐδ' ἥττησθε, vosotros ni habéis sido vencidos, pero ni siquiera os habéis movido.

HAY QUE PREPARAR LA GUERRA CONTRA FILIPO

Filipo ataca sin declarar la guerra

272. 6 Εἰ μὲν οὖν ἅπαντες ὡμολογοῦμεν Φίλιππον τῇ πόλει πολεμεῖν καὶ τὴν εἰρήνην παραβαίνειν, οὐδὲν ἄλλ' ἔδει [1] τὸν παριόντα λέγειν καὶ συμβουλεύειν ἢ ὅπως ἀσφαλέστατα καὶ ῥᾷστ' αὐτὸν ἀμυνούμεθα· ἐπειδὴ δ' οὕτως ἀτόπως ἔνιοι διάκεινται, ὥστε, πόλεις καταλαμβάνοντος ἐκείνου καὶ πολλὰ τῶν ὑμετέρων ἔχοντος καὶ πάντας ἀνθρώπους ἀδικοῦντος, ἀνέχεσθαί [2] τινων ἐν ταῖς ἐκκλησίαις λεγόντων πολλάκις ὡς ἡμῶν τινές εἰσιν οἱ ποιοῦντες τὸν πόλεμον, ἀνάγκη [3] φυλάττεσθαι καὶ διορθοῦσθαι περὶ τούτου. 7. Ἔστι [4] γὰρ δέος μὴ ποθ' ὡς ἀμυνούμεθα γράψας τις καὶ συμβουλεύσας εἰς τὴν αἰτίαν ἐμπέσῃ τοῦ πεποιηκέναι τὸν πόλεμον.

273. Ἐγὼ δὴ τοῦτο πρῶτον ἁπάντων λέγω καὶ διορίζομαι· εἰ ἐφ' ἡμῖν [1] ἐστὶ τὸ βουλεύεσθαι περὶ τοῦ πότερον εἰρήνην ἄγειν ἢ πολεμεῖν δεῖ, 8 φήμ' ἔγωγ' εἰρήνην ἄγειν ἡμᾶς δεῖν, καὶ τὸν ταῦτα λέγοντα [2] γράφειν καὶ πράττειν καὶ μὴ φενακίζειν ἀξιῶ· εἰ δ' ἕτερος [3], τὰ ὅπλα ἐν ταῖς χερσὶν ἔχων καὶ δύναμιν πολλὴν περὶ αὑτόν, τοὔνομα μὲν τὸ τῆς εἰρήνης ὑμῖν προβάλλει, τοῖς δ' ἔργοις αὐτὸς τοῖς τοῦ πολέμου χρῆται, τί λοιπὸν [4] ἄλλο πλὴν ἀμύνεσθαι; φάσκειν [5] δ' εἰρήνην ἄγειν εἰ βούλεσθε, ὥσπερ ἐκεῖνος, οὐ διαφέρομαι.

274. 9 Εἰ δέ τις ταύτην εἰρήνην ὑπολαμβάνει, ἐξ ἧς [1] ἐκεῖνος πάντα τἄλλα λαβὼν ἐφ' ἡμᾶς ἥξει, πρῶτον μὲν μαίνεται, ἔπειτα [2] ἐκείνῳ παρ' ὑμῶν, οὐχ ἡμῖν παρ' ἐκείνου τὴν εἰρήνην λέγει· τοῦτο δ' ἐστὶν ὃ τῶν ἀναλισκομένων [3] χρημάτων πάντων Φίλιππος ὠνεῖται, αὐτὸς μὲν πολεμεῖν ὑμῖν, ὑφ' ὑμῶν δὲ μὴ πολεμεῖσθαι.

---

272. [1] οὐδὲν ἀλλ' ἔδει... ninguna otra cosa era necesaria que el orador dijese sino cómo rechazaríamos a él lo más seguro y fácilmente.

[2] ἀνέχεσθαι, que... soportar que algunos digan en las asambleas...—la partícula ὥστε5 va con ἀνέχεσθαι. Oración consecutiva.

[3] ἀνάγκη, es necesario ponerse en guardia y rectificar.

[4] Ἔστι, es de temer que habiendo propuesto y aconsejado que nos defendamos, caiga en la acusación.—γράφω, proponer un decreto a votación.

273. [1] εἰ ἐφ' ἡμῖν... si está en nosotros el deliberar acerca de mantener la paz o es necesario guerrear.

[2] λέγοντα, y el que diga estas cosas, que proponga y lo defienda y ruego que no engañe.— γράφειν depende también de φημί.

[3] εἰ δ' ἕτερος, pero si el otro (Filipo).

[4] τί λοιπόν, qué otra cosa resta sino defenderse.

[5] φάσκειν, si queréis decir que mantenéis la paz lo mismo que dice aquél (Filipo), no me opongo.

274. [1] ἐξ ἧς, según la cual.

[2] ἔπειτα, en segundo lugar, defiende una paz en favor de aquel por parte vuestra, no en favor vuestro de parte de aquél.

[3] τῶν ἀναλισκομένων, con todas las riquezas gastadas. Es genitivo de precio (Gr. n.° 276).

Así lo ha hecho con los demás Estados griegos

275. 10 Καὶ μὴν εἰ μέχρι τούτου [1] περιμενοῦμεν ἕως ἂν ἡμῖν ὁμολογήσῃ πολεμεῖν, πάντων ἐσμὲν εὐηθέστατοι· οὐδὲ γὰρ ἂν ἐπὶ τὴν Ἀττικὴν αὐτὴν βαδίζῃ καὶ τὸν Πειραιᾶ, τοῦτ' ἐρεῖ, εἴπερ [2] οἷς πρὸς τοὺς ἄλλους πεποίηκε δεῖ τεκμαίρεσθαι.

276. 11 Τοῦτο μὲν [1] γὰρ Ὀλυνθίοις, τετταράκοντ' [2] ἀπέχων τῆς πόλεως στάδια, εἶπεν ὅτι δεῖ δυοῖν θάτερον [3], ἢ ἐκείνους ἐν Ὀλύνθῳ μὴ οἰκεῖν ἢ αὐτὸν ἐν Μακεδονίᾳ [4], πάντα τὸν ἄλλον χρόνον [5], εἴ τις αὐτὸν αἰτιάσαιτό τι τοιοῦτον, ἀγανακτῶν καὶ πρέσβεις πέμπων τοὺς ἀπολογησομένους· τοῦτο δ' [6] εἰς Φωκέας ὡς πρὸς συμμάχους ἐπορεύετο, καὶ πρέσβεις Φωκέων ἦσαν οἳ παρηκολούθουν αὐτῷ πορευομένῳ, καὶ παρ' ἡμῖν ἤριζον οἱ πολλοὶ Θηβαίοις οὐ λυσιτελήσειν τὴν ἐκείνου πάροδον [7].

277. 12 Καὶ μὴν καὶ [1] Φερὰς πρώην ὡς φίλος καὶ σύμμαχος εἰς Θετταλίαν ἐλθὼν ἔχει καταλαβών, καὶ τὰ τελευταῖα [2] τοῖς ταλαιπώροις Ὠρείταις τουτοισὶ ἐπισκεψομένους ἔφη [3] τοὺς στρατιώτας πεπομφέναι κατ' εὔνοιαν· πυνθάνεσθαι γὰρ αὐτοὺς ὡς νοσοῦσι καὶ στασιάζουσιν, συμμάχων δ' εἶναι καὶ φίλων ἀληθινῶν ἐν τοῖς τοιούτοις καιροῖς παρεῖναι.

278. 13 Εἶτα [1] οἴεσθ' αὐτόν, οἳ ἐποίησαν μὲν οὐδὲν ἂν κακόν, μὴ παθεῖν δ' ἐφυλάξαντο ἂν ἴσως, τούτους μὲν ἐξαπατᾶν αἱρεῖσθαι μᾶλλον

---

275. [1] μέχρι τοῦτο, hasta esto, hasta que (Filipo) confiese. — μέχρι τοῦτο es un pleonesmo que se explica en la oración siguiente y se puede suprimir en la traducción.

[2] εἴπερ, si conviene deducirlo por lo que ha hecho con otros pueblos.

276. [1] τοῦτο μὲν, esto por una parte (pasó) en Olinto. — τοῦτο μὲν se opone a τοῦτο δὲ de más abajo.

[2] τετταράκοντ. Menos de 8 kilómetros. Un estadio equivale a 180 metros.

[3] θάτερον (τὸ ἕτερον), dijo que una de dos cosas eran necesarias o...

[4] ἐν Μακεδονίᾳ se suple μὴ οἰκεῖν.

[5] χρόνον, durante este tiempo, si alguno le acusaba a él de tal cosa (de tramar la ruina de Olinto) airándose (Filipo)... — πάντα τὸν ἄλλον χρόνον va con ἀγανακτῶν. — πρέσβεις es acusativo.

[6] τοῦτο δ'ε, esto por otra parte (hizo Filipo) contra Focia, pues se dirigía (Filipo) como a aliados y eran embajadores de Focia los que le acompañaban a él.

[7] πάροδον, la entrada (por las Termópilas) de aquél (de Filipo).

277. [1] Καὶ μὴν καὶ. Y más aún a Feras hace poco, yendo (Filipo) como amigo y aliado a Tesalia (de paso) habiéndola cogido, la retiene.

[2] τὰ τελευταῖα, y en fin.

[3] ἔφη... dijo (Filipo) que enviaba... y que ellos se enterasen cómo estaban enfermos..., que pues era propio de aliados...

278. [1] Εἶτα. Luego ¿pensáis que aquél (Filipo) por una parte, a estos, que no le hubieran hecho ningún daño o a lo más se hubieran precavido (Gr. n.° 308) para no sufrirlo, (pensáis repito que) a estos les engaña para apoderarse de ellos más que declarando la guerra usar de la fuerza, y por

ἢ προλέγοντα βιάζεσθαι, ὑμῖν δ' ἐκ προρρήσεως πολεμήσειν, καὶ ταῦθ' ἕως ἂν ἑκόντες ἐξαπατᾶσθε; οὐκ ἔστι ταῦτα.

279. 14 Καὶ γὰρ ἂν [1] ἀβελτερώτατος εἴη πάντων ἀνθρώπων, εἰ, τῶν ἀδικουμένων [2] ὑμῶν μηδὲν ἐγκαλούντων αὐτῷ ἀλλ' ὑμῶν αὐτῶν τινὰς αἰτιωμένων, ἐκεῖνος, ἐκλύσας τὴν πρὸς ἀλλήλους ἔριν ὑμῖν καὶ φιλονεικίαν, ἐφ' ἑαυτὸν προείποι τρέπεσθα καὶ τῶν παρ' ἑαυτοῦ μισθοφορούντων τοὺς λόγους ἀφέλοιτο [3], οἷς ἀναβάλλουσιν ὑμᾶς, λέγοντες ὡς ἐκεῖνός γε οὐ πολεμεῖ τῇ πόλει.

Luego tenemos que defendernos

280. 15 Ἀλλ' ἔστιν [1], ὦ πρὸς τοῦ Διός, ὅστις εὖ φρονῶν ἐκ τῶν ὀνομάτων μᾶλλον ἢ τῶν πραγμάτων τὸν ἄγοντα εἰρήνην ἢ πολεμοῦντα ἑαυτῷ σκέψαιτο ἄν; οὐδεὶς δήπου. Ὁ τοίνυν Φίλιππος ἐξ ἀρχῆς [2], ἄρτι τῆς εἰρήνης γεγονυίας, οὕπω Διοπείθους στρατηγοῦντος οὐδὲ τῶν ὄντων ἐν Χερρονήσῳ νῦν ἀπεσταλμένων, Σέρριον [3] καὶ Δορίσκον ἐλάμβανε καὶ τοὺς ἐκ Σερρείου τείχους καὶ Ἱεροῦ [3] ὄρους στρατιώτας ἐξέβαλλεν, οὓς ὁ ὑμέτερος στρατηγὸς ἐγκατέστησεν. Καίτοι ταῦτα πράττων τί ἐποίει; εἰρήνην μὲν γὰρ ὠμωμόκει.



Trompetero

281. 16 Καὶ μηδεὶς εἴπῃ· «Τί δὲ ταῦτ' ἐστίν;» [1] ἢ «τί τούτων μέλει τῇ πόλει;» εἰ μὲν γὰρ μικρὰ ταῦτα ἸἐστινI ἢ μηδὲν ὑμῖν αὐτῶν

---

otra parte contra vosotros después de una declaración de guerra iba a guerrear y más mientras os dejéis engañar voluntariamente en cuanto a esto.— οἵ tiene por antecedente τοῦτος.— ἐποίησαν y ἐφυλάξαντο son oraciones relativas irreales.—προλέγοντα es un apuesto de αὐτὸν.—ἕως ἂν ἐξαπτᾶσθε es una temporal de futuro.—ταῦτα ac. de limitación (Gr. n.° 278).

279. [1] Καὶ γὰρ ἂν... εἴη, es una oración enunciativa potencial.— εἰ... κεῖνος προεί ποι καὶ... ἀ φ έ λ ο ι τ ο son dos oraciones condicionales potenciales. Todas las demás oraciones son participios absolutos o concertados.

[2] τῶν ἀδικουμένων, vosotros siendo perjudicados no acusándole nada a él sino culpando a algunos de vosotros mismos.

[3] ἀφείλοιτο, y suprimiese los discursos de los asalariados por él, con los que ellos os atacan.

280. [1] Ἀλλ' ἔστιν, pero ¿hay, por Júpiter, (alguno) que, pensando bien, por las palabras más que por las obras pueda juzgar al que (si uno) mantiene la paz o pelea contra mi?

[2] ἐξ ἀρχῆς, desde el principio, hecha la paz recientemente, no habiendo Diopetes aun salido a campaña, ni habiendo sido enviados en expedición los que están ahora en el Quersoneso...

[3] Σέρριον, Serrio y Dorisco eran ciudades costeras de Tracia que estaban defendidas por el ateniense Jares.

281. [1] τὶ δὲ ταῦτά ἐστιν, ¿qué valen estas cosas o qué importaban estas cosas a la ciudad? (Gr. n.° 238, 3).

ἔμελεν, ἄλλος [2] ἂν εἴη λόγος οὗτος· τὸ δ' εὐσεβὲς [3] καὶ τὸ δίκαιον ἄν τ' ἐπὶ μικροῦ τις ἄν τ' ἐπὶ μείζονος παραβαίνῃ, τὴν αὐτὴν ἔχει δύναμιν. Φέρε δὴ νῦν [4], ἡνίκα εἰς Χερρόνησον, ἣν βασιλεὺς [5] καὶ πάντες οἱ Ἕλληνες ὑμετέραν ἐγνώκασιν εἶναι, ξένους εἰσπέμπει καὶ βοηθεῖν ὁμολογεῖ καὶ ἐπιστέλλει ταῦτα, τί ποιεῖ;

Soldado espartano

282. 17 Φησὶ μὲν γὰρ οὐ πολεμεῖν, ἐγὼ [1] δὲ τοσούτῳ δέω ταῦτα ποιοῦντ' ἐκεῖνον ἄγειν ὁμολογεῖν τὴν πρὸς ὑμᾶς εἰρήνην, ὥστε [2] καὶ Μεγάρων ἁπτόμενον καὶ ἐν Εὐβοίᾳ τυραννίδα κατασκευάζοντα καὶ νῦν ἐπὶ Θρᾴκην παριόντα καὶ τὰ ἐν Πελοποννήσῳ σκευωρούμενον καὶ πάντα ὅσα πράττει μετὰ τῆς δυνάμεως ποιοῦντα λύειν φημὶ τὴν εἰρήνην καὶ πολεμεῖν ὑμῖν, εἰ μὴ [3] καὶ τοὺς τὰ μηχανήματα ἐφιστάντας εἰρήνην ἄγειν φήσετε, ἕως ἂν αὐτὰ τοῖς τείχεσιν ἤδη προσάγωσιν. Ἀλλ' ὑο φήσετε· ὁ γὰρ [4] οἷς ἂν ἐγὼ ληφθείην, ταῦτα πράττων καὶ κατασκευαζόμενος, οὗτος ἐμοὶ πολεμεῖ, κἂν μήπω βάλλῃ μηδὲ τοξεύῃ.

283. 18 Τίσιν οὖν ὑμεῖς κινδυνεύσαιτε ἄν, εἴ τι [1] γένοιτο; τῷ [2] τὸν Ἑλλήσποντον ἀλλοτριωθῆναι, τῷ Μεγάρων [3] καὶ τῆς Εὐβοίας τὸν πολεμοῦντα ὑμῖν γενέσθαι κύριον, τῷ Πελοποννησίους τἀκείνου φρονῆσαι. Εἶτα τὸν τοῦτο τὸ μηχάνημα ἐπὶ τὴν πόλιν ἱστάντα, τοῦτον εἰρήνην ἄγειν ἐγὼ φῶ [4] πρὸς ὑμᾶς;

---

2 ἄλλος..., tal vez sea otra cuestión.

3 τὸ δ' εὐσεβὲς..., pero el que alguno traspase la religión y la justicia ya en lo poco ya en lo mucho, tiene igual fuerza (es lo mismo de perjuro).

4 Φέρε δὴ νῦν, «age porro». Y añade de esto.

5 ἡνίκα, y cuando (Filipo) envía al Quersoneso.—βασιλέυς, el rey de Persia.

6 ἐπιστέλλει, y os escribe estas cosas (en este sentido) ¿qué hace?—ἐπι-στέλλω, enviar un mensaje, una carta (ἐπιστολή).

282. 1 ἐγὼ, yo estoy tan lejos (τοσοῦτῳ δέω) de admitir que aquél (Filipo) haciendo esto...

2 ὥστε..., que digo que (Filipo) atacando a Megara (Gr. n.° 251, c) y colocando un tirano... avanzando... e intrigando... y haciendo todas las cosas que hace con su ejército, quebranta la paz. Todas estas ciudades y regiones eran vitales para la defensa de Atenas.

3 εἰ μὴ, a no ser que digas (Gr. n.° 324, nota 3) que los que preparan máquinas de guerra, mientras no se acerquen... (Gr. n. 332).

4 ὁ γὰρ, el que prepara las cosas con las que yo puedo ser cogido.

283. 1 εἴ τι, si sucediese algún contratiempo (v. gr.: alguna derrota).

2 τῷ... (peligráis) en que el Helesponto pasa a poder de otro (Gr. n.° 352).

3 τῷ Μεγάρων, en que el que os hace la guerra a vosotros, sea señor de Megara y Eubea.

4 ἐγὼ φῶ, voy a deciros yo...?—φῶ es subjuntivo de φημί. Es interrogativa deliberativa (Gr. n.° 291).

284. 19 πολλοῦ γε καὶ δεῖ· [1] ἀλλ' ἀφ' ἧς ἡμέρας ἀνεῖλε Φωκέας, ἀπὸ ταύτης ἔγωγ' αὐτὸν πολεμεῖν ὁρίζομαι. Ὑμᾶς [2] δέ, ἐὰν ἀμύνησθε ἤδη, σωφρονήσειν φημί· ἐὰν δ' ἐάσητε, οὐδὲ [3] τοῦθ' ὅταν βούλησθε δυνήσεσθε ποιῆσαι.

285. Καὶ τοσοῦτόν γ' ἀφέστηκα [1] τῶν ἄλλων, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν συμβουλευόντων, ὥστε οὐδὲ δοκεῖ μοι περὶ Χερρονήσου νῦν σκοπεῖν οὐδὲ Βυζαντίου, 20 ἀλλ' ἐπαμῦναι μὲν τούτοις καὶ διατηρῆσαι μή τι πάθωσι καὶ τοῖς [2] οὖσιν ἐκεῖ νῦν στρατιώταις πάνθ' ὅσων ἂν δέωνται ἀποστεῖλαι, βουλεύεσθαι μέντοι περὶ πάντων τῶν Ἑλλήνων ὡς [3] ἐν κινδύνῳ μεγάλῳ καθεστώτων.

Qué tenemos que hacer

286. 70 Καὶ ἡμεῖς τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ἕως ἐσμὲν σῷοι, πόλιν μεγίστην ἔχοντες, ἀφορμὰς πλείστας, ἀξίωμα κάλλιστον, τί ποιῶμεν [1]; — πάλαι [2] τις ἡδέως ἂν ἴσως ἐρωτήσων κάθηται. Ἐγὼ νὴ Δία ἐρῶ καὶ γράψω δέ [3], ὥστε, ἂν βούλησθε, χειροτονήσετε.

